# ΚΑΛΛΙΜΑΧΟΥ ΚΥΡΗΝΑΙΟΥ ὕΜΝΟΙ.

## ΕΙΣ ΔΙΑ.

Ζ ΗΝΟΣ ΕΟΙ ΤΙ ΚΕΝ ΑΛΛΟ
ΠΑΡΑ ΣΠΟΝΔΗΙΣΙΝ ΑΕΙΔΕΙΝ
ΛΩΙΟΝ, Η ΘΕΟΝ ΑΥΤΟΝ ΑΕΙ
ΜΕΓΑΝ. ΑΙΕΝ ΑΝΑΚΤΑ.
ΠΗΛΟΓΟΝΩΝ ΕΛΑΤΗΡΑ. ΔΙΚΑΣΠΟΛΟΝ ΟΥΡΑΝΙΔΗΙΣΙ.
ΠΩΣ ΚΑΙ ΝΙΝ ΔΙΚΤΑΙΟΝ ΑΕΙΣΟΜΕΝ ΗΕ ΛΥΚΑΙΟΝ.
ΕΝ ΔΟΙΗΙ ΜΑΛΑ ΘΥΜΟΣ. ΕΠΕΙ ΓΕΝΟΣ ΑΜΦΗΡΙΣΤΟΝ.
ΖΕΥ ΣΕ ΜΕΝ ΙΔΑΙΟΙΣΙΝ ΕΝ ΟΥΡΕΣΙ ΦΑΣΙ ΓΕΝΕΣΘΑΙ.
ΖΕΥ ΣΕ ΔΕΝ ΑΡΚΑΔΙΗΙ. ΠΟΤΕΡΟΙ ΠΑΤΕΡ ΕΨΕΥΣΑΝΤΟ.
ΚΡΗΤΕΣ ΑΕΙ ΨΕΥΣΤΑΙ. ΚΑΙ ΓΑΡ ΤΑΦΟΝ Ω ΑΝΑ ΣΕΙΟ
ΚΡΗΤΕΣ ΕΤΕΚΤΗΝΑΝΤΟ. ΣΥ ΔΟΥ ΘΑΝΕΣ. ΕΣΣΙ ΓΑΡ ΑΙΕΙ.
ΕΝ ΔΕ ΣΕ ΠΑΡΡΑΣΙΗΙ ΡΕΙΗ ΤΕΚΕΝ. ΗΧΙ ΜΑΛΙΣΤΑ
ΕΣΚΕΝ ΟΡΟΣ ΘΑΜΝΟΙΣΙ ΠΕΡΙΣΚΕΠΕΣ. ΕΝΘΕΝ Ο ΧΩΡΟΣ
ΙΕΡΟΣ. ΟΥΔΕ ΤΙ ΜΙΝ ΚΕΧΡΗΜΕΝΟΝ ΕΙΛΕΙΘΥΙΗΣ.
ΕΡΠΕΤΟΝ ΟΥ ΔΕ ΓΥΝΗ ΕΠΙΜΙΣΓΕΤΑΙ. ΑΛΛΑ Ε ΡΕΙΗΣ
ΩΓΥΓΙΟΝ ΚΑΛΕΟΥΣΙ ΛΕΧΩΙΟΝ ΑΠΙΔΑΝΗΕΣ.
ΕΝΘΑ Σ ΕΡΕΙ ΜΗΤΗΡ ΜΕΓΑΛΩΝ ΑΠΕΘΗΚΑΤΟ ΚΟΛΠΩΝ.
ΑΥΤΙΚΑ ΔΙΖΗΤΟ ΡΟΟΝ ΥΔΑΤΟΣ. ΩΙ ΚΕ ΤΟΚΟΙΟ
ΛΥΜΑΤΑ ΧΥΤΛΩΣΑΙΤΟ. ΤΕΟΝ ΔΕΝΙ ΧΡΩΤΑ ΛΟΕΣΣΑΙ.
ΛΑΔΩΝ ΑΛΛΟΥΠΩ ΜΕΓΑΣ ΕΡΡΕΕΝ ΟΥ ΔΕΡΥΜΑΝΘΟΣ

ΑΙ

ΛΕΥΚΟΤΑΤΟΣ ΠΟΤΑΜΩΝ. ΕΤΙ ΔΑΒΡΟΧΟΣ ΗΕΝ ΑΠΑΣΑ
ΑΡΚΑΔΙΗ· ΜΕΛΛΕΝ ΔΕ ΜΑΛΕΥΥΔΡΟΣ ΚΑΛΕΕΣΘΑΙ.
ΑΥΤΙΣ. ΕΠΕΙ ΤΗΜΟΣ ΔΕ ΡΕΗ ΟΤΕΛΥΣΑΤΟ ΜΙΤΡΗΝ.
Η ΠΟΛΛΑΣ ΕΦΥΠΕΡΘΕ ΣΑΡΩΝΙΔΑΣ ΥΓΡΟΣ ΙΑΩΝ
ΗΕΙΡΕΝ· ΠΟΛΛΑΣ ΔΕ ΜΕΛΑΣ ΩΚΧΗΣΕΝ ΑΜΑΞΑΣ·
ΠΟΛΛΑ ΔΕ ΚΑΡΙΩΝΟΣ ΑΝΩ ΔΙΕΡΟΥ ΠΕΡ ΕΟΝΤΟΣ
ΙΛΥΟΥΣ ΕΒΑΛΟΝΤΟ ΚΙΝΩΠΕΤΑ. ΝΙΣΣΕΤΟ ΔΑΝΗΡ
ΠΕΖΟΣ ΥΠΕΡ ΚΡΑΘΙΝ ΤΕ ΠΟΛΥΣΤΕΙΟΝ ΤΕ ΜΕΤΩΠΗΝ.
ΔΙΨΑΛΕΟΣ. ΤΟ ΔΕ ΠΟΛΛΟΝ ΥΔΩΡ ΥΠΟ ΠΟΣΣΙΝ ΕΚΕΙΤΟ.
ΚΑΙ Ρ ΥΠΑΜΗΧΑΝΙΗΣ ΣΧΟΜΕΝΗ ΦΑΤΟ ΠΟΤΝΙΑ ΡΕΙΗ.
ΓΑΙΑ ΦΙΛΗ. ΤΕΚΕ ΚΑΙ ΣΥ· ΤΕΑΙ ΔΩΔΙΝΕΣ ΕΛΑΦΡΑΙ.
ΕΙΠΕ· ΚΑΙ ΑΝΤΑΝΥΣΑΣΑ ΘΕΑ ΜΕΓΑΝ ΥΨΟΘΙ ΠΗΧΥΝ,
ΠΛΗΞΕΝ ΟΡΟΣ ΣΚΗΠΤΡΩΙ. ΤΟ ΔΕ ΟΙ ΔΙΧΑ ΠΟΥΛΥ ΔΙΕΣΤΗ·
ΕΚ ΔΕΧΕΕΝ ΜΕΓΑ ΧΕΥΜΑ. ΤΟΘΙ ΧΡΟΑ ΦΑΙΔΡΥΝΑΣΑ
ΩΝΑ ΤΕΟΝ, ΣΠΕΙΡΩΣΕ. ΝΕΔΗΙ ΔΕ ΣΕ ΔΩΚΕ ΚΟΜΙΣΣΑΙ
ΚΕΥΘΜΟΝ ΕΣΩ ΚΡΗΤΑΙΟΝ. ΙΝΑ ΚΡΥΦΑ ΠΑΙΔΕΥΟΙΟ.
ΠΡΕΣΒΥΤΑΤΗΙ ΝΥΜΦΕΩΝ. ΑΙ ΜΙΝ ΤΟΤΕ ΜΑΙΩΣΑΝΤΟ·
ΠΡΩΤΙΣΤΗΙ ΓΕΝΕΗΙ· ΜΕΤΑ ΤΕ ΣΤΥΓΑ ΦΙΛΥΡΗΝ ΤΕ·
ΟΥ ΔΑΛΙΗΝ ΑΠΕΤΙΣΕ ΘΕΗ ΧΑΡΙΝ. ΑΛΛΑ ΤΟ ΧΕΥΜΑ
ΚΕΙΝΟ ΝΕΔΗΝ ΟΝΟΜΗΝΕ· ΤΟ ΜΕΝ ΠΟΘΙ ΠΟΥΛΥ ΚΑΤ ΑΥΤΟ
ΚΑΥΚΩΝΩΝ ΠΤΟΛΙΕΘΡΟΝ. Ο ΛΕΠΡΙΟΝ ΠΕΦΑΤΙΣΤΑΙ.
ΣΥΜΦΕΡΕΤΑΙ ΝΗΡΗΙ. ΠΑΛΑΙΟΤΑΤΟΝ ΔΕ ΜΙΝ ΥΔΩΡ
ΥΙΩΝΟΙ ΠΙΝΟΥΣΙ ΛΥΚΑΟΝΙΗΣ ΑΡΚΤΟΙΟ.
ΕΥΤΕ ΘΕΝΑΣ ΑΠΕΛΕΙΠΕΝ ΕΠΙ ΚΝΩΣΣΟΙΟ ΦΕΡΟΥΣΑ.

Soluit Zona
μίτρην
σαρωνίδας. ἡ δρῦς
Iao fl.
Melas fl.
Cariō fl.
ἰλυούς
κινώπετα
Crathis fl.
Metope fl.
Nede nỹpha
Styx nỹpha
Phylyra nỹpha
Nede fl.
Caucō arcadie mons
Leprio oppidum arcadie
Thene urbs & lucus ppe cnossū ut infra

ΖΕΥ ΠΑΤΕΡ Η ΝΥΜΦΗ ΣΕ, ΘΕΝΑΙ ΔΕΣΑΝ ΕΓΓΥΘΙ ΚΝΩΣΣΟΥ,
ΤΟΥΤΑΚΙ ΤΟΙ ΠΕΣΕ ΔΑΙΜΟΝ ΑΠΟΜΦΑΛΟΣ. ΕΝΘΕΝ ΕΚΕΙΝΟ
ΟΜΦΑΛΙΟΝ ΜΕΤΕΠΕΙΤΑ ΠΕΔΟΝ ΚΑΛΕΟΥΣΙ ΚΥΔΩΝΕΣ·
ΖΕΥ ΣΕ ΔΕ ΚΥΡΒΑΝΤΩΝ ΕΤΑΡΑΙ ΠΡΟΣΕΠΗΧΥΝΑΝΤΟ·
ΔΙΚΤΑΙΑΙ ΜΕΛΙΑΙ· ΣΕ ΔΕΚΟΙΜΙΣΕΝ ΑΔΡΗΣΤΕΙΑ
ΛΕΙΚΝΩ ΕΝΙ ΧΡΥΣΕΩ· ΣΥ ΔΕΘΗΣΑΟ ΠΙΟΝΑ ΜΑΖΟΝ
ΑΙΓΟΣ ΑΜΑΛΘΕΙΗΣ· ΕΠΙ ΔΕ ΓΛΥΚΥ ΚΗΡΙΟΝ ΕΒΡΩΣ·
ΓΕΝΤΟ ΓΑΡ ΕΞΑΠΙΝΑΙΑ ΠΑΝΑΚΡΙΔΟΣ ΕΡΓΑ ΜΕΛΙΣΣΗΣ.
ΙΔΑΙΟΙΣ ΕΝ ΟΡΕΣΣΙ. ΤΑ, ΤΕ ΚΛΕΙΟΥΣΙ ΠΑΝΑΚΡΑ·
ΟΥΛΑ ΔΕ ΚΟΥΡΗΤΕΣ ΣΕ ΠΕΡΙ ΠΡΥΛΙΝ ΩΡΧΗΣΑΝΤΟ·
ΤΕΥΧΕΑ ΠΕΠΛΗΓΟΝΤΕΣ. ΙΝΑ ΚΡΟΝΟΣ ΟΥΑΣΙΝ ΗΧΗΝ
ΑΣΠΙΔΟΣ ΕΙΣΑΙΟΙ, ΚΑΙ ΜΗ ΣΕΟ ΚΟΥΡΙΖΟΝΤΟΣ·
ΚΑΛΑ ΜΕΝ ΗΕΞΕΥ· ΚΑΛΑ ΔΕΤΡΑΦΕΣ ΟΥΡΑΝΙΕ ΖΕΥ·
ΟΞΥ ΔΑΝΗΒΗΣΑΣ· ΤΑΧΥΝΟΙ ΔΕ ΤΟΙ ΗΛΘΟΝ ΙΟΥΛΟΙ·
ΑΛΛΕΤΙ ΠΑΙΔΝΟΣ ΕΩΝ, ΕΦΡΑΣΣΑΟ ΠΑΝΤΑ ΤΕΛΕΙΑ·
ΤΩΙ ΤΟΙ ΚΑΙ ΓΝΩΤΟΙ ΠΡΟΤΕΡΗΓΕΝΕΕΣ ΠΕΡ ΕΟΝΤΕΣ,
ΟΥΡΑΝΟΝ ΟΥΚΕΜΕΓΗΡΑΝ ΕΧΕΙΝ ΕΠΙΔΑΙΣΙΟΝ ΟΙΚΟΝ.
ΔΗΝΑΙΟΙ ΔΟΥ ΠΑΜΠΑΝ ΑΛΗΘΕΕΣ ΗΣΑΝ ΑΟΙΔΟΙ.
ΦΑΝΤΟ ΠΑΛΟΝ ΚΡΟΝΙΔΗΣΙ ΔΙΑΤΡΙΧΑ ΔΩΜΑΤΑ ΝΕΙΜΑΙ·
ΤΙΣ ΔΕ ΚΕΠΟΥΛΥΜΠΩΙ ΤΕ ΚΑΙ ΑΙΔΙ ΚΛΗΡΟΝ ΕΡΥΣΣΑΙ·
ΟΣ ΜΑΛΑ ΜΗ ΝΕΝΙΗΛΟΣ· ΕΠΙΣΑΙΗ ΓΑΡ ΕΟΙΚΕ
ΠΗΛΑΣΘΑΙ· ΤΑ ΔΕ, ΤΟΣΣΟΝ ΟΣΟΝ ΔΙΑ ΠΛΕΙΣΤΟΝ ΕΧΟΥΣΙ·
ΨΕΥΔΟΙΜΗΝ ΑΙΟΝΤΟΣ Α ΚΕΝ ΠΕΠΙΘΟΙΕΝ ΑΚΟΥΗΝ·
ΟΥ ΣΕ ΘΕΩΝ ΕΣΣΗΝΑ ΠΑΛΟΙ ΘΕΣΑΝ· ΕΡΓΑ ΔΕ ΧΕΙΡΩΝ·



Omphalius campus
Cyrbantu so cię
μελίαι δικταῖαι
Adrastea
λίκνῳ
ἐθήσαο
Amalthea
πάνακρα vel πάνακες
οὖλα
πρύλιν
ἠέξευς
διάτριχα
δηναιοί
ἑσσῆνα. ἢ βασιλέα

ΣῊ ΤΕ ΒΊῌ ΤῸ ΤΕ ΚΆΡΤΟΣ. Ὃ ΚΑῚ ΠΈΛΑΣ ΕἼΣΑΟ ΔΊΦΡΟΥ·

Aglaiouius nuncia

ΘΉΚΑΟ ΔΟἸΩΝῸΝ ΜΈΓ ὙΠΕΊΡΟΧΟΝ ἈΓΓΕΛΙΏΤΗΝ

ΣῶΝ ΤΕΡΆΩΝ· Ἅ, ΤἘΜΟῖΣΙ ΦΊΛΟΙΣ ἘΝΔΈΞΙΑ ΦΑΊΝΟΙΣ·

αἰζηῶν·

ἙΊΛΕΟ ΔΑἸΖΗῶΝ Ὅ,ΤΙ ΦΈΡΤΑΤΟΝ· ΟὟ ΣΎ ΓΕ ΝΗῶΝ

ἘΜΠΕΡΆΜΟΥΣ. ΟὐΚἌΝΔΡΑ ΣΑΚΈΣΠΑΛΟΝ. Οὐ ΜῈΝ ἈΟΙΔῸΝ·

Oh Zones

ἈΛΛᾺ ΤᾺ ΜῈΝ ΜΑΚΆΡΕΣΣΙΝ ὈΛΊΖΟΣΙΝ ΑὖΘΙ ΠΑΡῆΚΑΣ·

ἌΛΛΑ ΜΈΛΕΙΝ ἙΤΈΡΟΙΣΙ· ΣῪ ΔἘΞΈΛΕΟ ΠΤΟΛΙΆΡΧΟΥΣ

ΑὐΤΟΎΣ· ὯΝ ὙΠῸ ΧΕῖΡΑ ΓΕΩΜΌΡΟΣ· ὯΝ ἼΔΡΙΣ ΑἸΧΜῆΣ·

ὯΝ ἘΡΈΤΗΣ ὯΝ ΠΆΝΤΑ· ΤΊ ΔΟὐ ΚΡΑΤΈΟΝΤΟΣ ὙΠἸΣΧῪΝ·

ὑδείομεν

ΑὐΤΊΚΑ ΧΑΛΚῆΑΣ ΜῈΝ ὙΔΕΊΟΜΕΝ ἩΦΑΊΣΤΟΙΟ.

τευχηστὰς

ΤΕΥΧΗΣΤᾺΣ ΔἌΡΗΟΣ. ἘΠΑΚΤῆΡΑΣ ΔῈ ΧΙΤῶΝΗΣ

ἐπακτῆρας

ἈΡΤΈΜΙΔΟΣ. ΦΟΊΒΟΥ ΔῈ ΛΎΡΗΣ Εὖ ΕἸΔΌΤΑΣ ΟἼΜΟΥΣ·

λάξιν

ἘΚ ΔῈ ΔΙῸΣ ΒΑΣΙΛῆΕΣ. ἘΠΕῚ ΔΙῸΣ ΟὐΔῈΝ ἈΝΆΚΤΩΝ

ΘΕΙΌΤΕΡΟΝ· Τῷ ΚΑῚ ΣΦΙ ΤΕῊΝ ἘΚΡΊΝΑΟ ΛΆΞΙΝ·

Diana chitone

ΔῶΚΑΣ ΔῈ ΠΤΟΛΊΕΘΡΑ ΦΥΛΑΣΣΈΜΕΝ. ἽΖΕΟ ΔΑὐΤῸΣ

ἌΚΡῌΣ ἘΝ ΠΟΛΊΕΣΣΙΝ ἘΠΌΨΙΟΣ. Οἵ ΤΕ ΔΊΚῌΣΙ

ῥυηφενίην

ΛΑῸΝ ὙΠῸ ΣΚΟΛΙῇΣ, ΟἹ ΤἜΜΠΑΛΙΝ ἸΘΎΝΟΥΣΙΝ·

ἘΝ ΔῈ ῬΥΗΦΕΝΊΗΝ ἜΒΑΛΕΣ ΣΦΊΣΙΝ. ἘΝ ΔἍΛΙΣ ὌΛΒΟΥ·

ΠᾶΣΙ ΜΈΝ· Οὐ ΜΆΛΑ ΔἾΣΟΝ· ἜΟΙΚΕ ΔῈ ΤΕΚΜΉΡΑΣΘΑΙ

ἩΜΕΤΈΡῼ ΜΕΔΈΟΝΤΙ. ΠΕΡῚ ΠΡῸ ΓᾺΡ ΕὐΡῪ ΒΈΒΗΚΕΝ·

ἙΣΠΈΡΙΟΣ ΚΕῖΝΌΣ ΓΕ ΤΕΛΕῖ ΤΆ,ΚΕΝ ἮΡΙ ΝΟΉΣῌ·

ἙΣΠΈΡΙΟΣ ΤᾺ ΜΈΓΙΣΤΑ. ΤᾺ ΜΕΊΟΝΑ ΔΕὖΤΕ ΝΟΉΣῌ·

ΟἹ ΔΈ, ΤᾺ ΜῈΝ ΠΛΕΙῶΝΙ. ΤᾺ ΔΟὐΧἙΝΊ. ΤῶΝ ΔἈΠΟΠΆΜΠΑΝ

ἄνην

ἐκόλουσας

ΑὐΤῸΣ ἌΝΗΝ ἘΚΌΛΟΥΣΑΣ. ἘΝΈΚΛΑΣΑΣ ΔῈ ΜΕΝΟΙΝΉΝ·

Sententia pulcherrima & admiranda. Nec uirtus sine substantia nec substantia sine uirtute homines promouet itaque utroque opus est.

ΧΑῖΡΕ ΜΈΓΑ ΚΡΟΝΊΔΗ ΠΑΝΥΠΈΡΤΑΤΕ. ΔΩ͂ΤΟΡ ἘΆΩΝ.
ΔΩ͂ΤΟΡ ἈΠΗΜΟΝΊΗΣ. ΤΕᾺ Δ᾽ἜΡΓΜΑΤΑ ΤΊΣ ΚΕΝ ἈΕΊΔΟΙ.
ΟΥ̓ ΓΈΝΕΤ᾽ ΟΥ̓Κ ἜΣΤΑΙ. ΤΊΣ ΚΕΝ ΔΙῸΣ ἜΡΓΜΑΤ᾽ ἈΕΊΣΕΙ.
ΧΑῖΡΕ ΠΆΤΕΡ. ΧΑῖΡ᾽ ΑὖΘΙ. ΔΊΔΟΥ Δ᾽ἈΡΕΤῊΝ Τ᾽ἈΦΕΝΌΣ ΤΕ.
ΟΥ̓Τ᾽ἈΡΕΤῆΣ ἌΤΕΡ ὌΛΒΟΣ ἘΠΊΣΤΑΤΑΙ ἌΝΔΡΑΣ ἈΈΞΕΙΝ.
ΟΥ̓Τ᾽ἈΡΕΤῊ ἈΦΈΝΟΙΟ. ΔΊΔΟΥ Δ᾽ἈΡΕΤῊΝ ΤΕ ΚΑῚ ὌΛΒΟΝ.

ἐάων
ἀρημονίης
ἔργματα

# ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

Ο͂ΙΟΝ Ὁ ΤΩ͂Π᾽ΌΛΛΩΝΟΣ ἘΣΕΊΣΑΤΟ ΔΆΦΝΙΝΟΣ ὌΡΠΗΞ.
Ο͂ΙΑ Δ᾽ὍΛΟΝ ΤῸ ΜΈΛΑΘΡΟΝ. ἙΚᾺΣ ἙΚᾺΣ ὍΣΤΙΣ ἈΛΙΤΡΌΣ.
ΚΑῚ ΔΉ ΠΟΥ ΤᾺ ΘΎΡΕΤΡΑ ΚΑΛῷ ΠΟΔῚ ΦΟῖΒΟΣ ἈΡΆΣΣΕΙ.
ΟΥ̓Χ ὉΡΆΑΣ. ἘΠΈΝΕΥΣΕΝ Ὁ ΔΉΛΙΟΣ ἩΔΥ΄ ΤΙ ΦΟῖΝΙΞ.
ἘΞΑΠΊΝΗΣ. Ὁ ΔῈ ΚΎΚΝΟΣ ἘΝ ἨΈΡΙ ΚΑΛῸΝ ἈΕΊΔΕΙ.
ΑΥ̓ΤΟῚ ΝΥ͂Ν ΚΑΤΟΧῆΕΣ ἈΝΑΚΑΊΝΕΣΘΕ ΠΥΛΆΩΝ.
ΑΥ̓ΤΑῚ ΔῈ ΚΛΗῖΔΕΣ. Ὁ ΓᾺΡ ΘΕῸΣ ΟΥ̓ΚΈΤΙ ΜΑΚΡΆΝ.
ΟἹ ΔῈ ΝΈΟΙ ΜΟΛΠΉΝ ΤΕ ΚΑῚ ἘΣ ΧΟΡῸΝ ἘΝΤΎΝΕΣΘΕ.
Ὧ ΠΌΛΛΩΝ ΟΥ̓ ΠΑΝΤῚ ΦΑΕΊΝΕΤΑΙ. ἈΛΛ᾽ὍΤΙΣ ἘΣΘΛΌΣ.
ὍΣ ΜΙΝ ἼΔΗ, ΜΈΓΑΣ ΟὟΤΟΣ. ὍΣ ΟΥ̓Κ ἼΔΕ ΛΙΤῸΣ ἘΚΕῖΝΟΣ.
ὈΨΌΜΕΘ᾽ Ὦ ἙΚΆΕΡΓΕ. ΚΑῚ ἘΣΣΌΜΕΘ᾽ ΟὔΠΟΤΕ ΛΙΤΟΊ.
ΜΉΤΕ ΣΙΩΠΗΛῊΝ ΚΎΘΑΡΙΝ. ΜΉΤ᾽ ἌΨΟΦΟΝ ἼΧΝΟΣ
ΤΟΥ͂ ΦΟΙΒΟΥ ΤΟῪΣ ΠΑῖΔΑΣ ἜΧΕΙΝ ἘΠΙΔΗΜΉΣΑΝΤΟΣ.
ΕἸ ΤΕΛΈΕΙΝ ΜΈΛΛΟΥΣΙ ΓΆΜΟΝ ΠΟΛΙῊΝ ΤΕ ΚΕΡΕῖΣΘΑΙ.
ἙΣΤΉΞΕΙΝ ΔῈ ΤῸ ΤΕῖΧΟΣ ἘΠ᾽ἈΡΧΑΊΟΙΣΙ ΘΕΜΈΘΛΟΙΣ.
ἨΓΑΣΆΜΗΝ ΤΟῪΣ ΠΑῖΔΑΣ. ἘΠΕῚ ΧΈΛΥΣ ΟΥ̓ΚΈΤ᾽ ἈΕΡΓΌΣ.
ΕΥ̓ΦΗΜΕῖΤ᾽ ἈΊΟΝΤΕΣ ἘΠ᾽ἈΠΌΛΛΩΝΟΣ ἈΟΙΔῆ.

Palma delia
Cygnus
ὦ πόλλων οὐ παντὶ φαίνεται
ἀνακαίνεσθε

ΕΥΦΗΜΕΙ ΚΑΙ ΠΟΝΤΟΣ ΟΤΕ ΚΛΕΙΟΥΣΙΝ ΑΟΙΔΟΙ
Η ΚΥΘΑΡΙΝ Η ΤΟΞΑ ΛΥΚΩΡΕΟΣ ΕΝΤΕΑ ΦΟΙΒΟΥ·
ΟΥ ΔΕ ΘΕΤΙΣ ΑΧΙΛΗΑ ΚΙΝΥΡΕΤΑΙ ΑΙΛΙΝΑ ΜΗΤΗΡ·
ΟΠΠΟΘΙΗ ΠΑΙΗΟΝ ΙΗ ΠΑΙΗΟΝ ΑΚΟΥΣΗΙ·
ΚΑΙ ΜΕΝ Ο ΔΑΚΡΥΟΕΙΣ ΑΝΑΒΑΛΛΕΤΑΙ ΑΛΓΕΑ ΠΕΤΡΟΣ
ΟΣ ΤΙΣ ΕΝΙ ΦΡΥΓΙΗΙ ΔΙΕΡΟΣ ΛΙΘΟΣ ΕΣΤΗΡΙΚΤΑΙ·
ΜΑΡΜΑΡΟΝ ΑΝΤΙ ΓΥΝΑΙΚΟΣ ΟΙΖΥΡΟΝ ΤΙ ΧΑΝΟΥΣΗΣ·
ΙΗ ΙΗ ΦΘΕΓΓΕΣΘΕ· ΚΑΚΟΝ ΜΑΚΑΡΕΣΣΙΝ ΕΡΙΖΕΙΝ·
ΟΣ ΜΑΧΕΤΑΙ ΜΑΚΑΡΕΣΣΙΝ, ΕΜΩΙ ΒΑΣΙΛΗΙ ΜΑΧΟΙΤΟ·
ΟΣ ΤΙΣ ΕΜΩΙ ΒΑΣΙΛΗΙ, ΚΑΙ ΑΠΟΛΛΩΝΙ ΜΑΧΟΙΤΟ·
ΤΟΝ ΧΟΡΟΝ Ω'ΠΟΛΛΩΝ Ο, ΤΙ ΟΙ ΚΑΤΑ ΘΥΜΟΝ ΑΕΙΔΕΙ,
ΤΙΜΗΣΕΙ· ΔΥΝΑΤΑΙ ΓΑΡ· ΕΠΕΙ ΔΙΙ ΔΕΞΙΟΣ ΗΣΤΑΙ·
ΟΥ Δ' Ο ΧΟΡΟΣ ΤΟΝ ΦΟΙΒΟΝ ΕΦ' ΕΝ ΜΟΝΟΝ ΗΜΑΡ ΑΕΙΣΕΙ·
ΕΣΤΙ ΓΑΡ ΕΥΥΜΝΟΣ ΤΙΣ. ΑΝ ΟΥ ΡΕΑ ΦΟΙΒΟΝ ΑΕΙΔΕΙ.
ΧΡΥΣΕΑ ΤΩΙ ΠΟΛΛΩΝΙ, ΤΟ ΤΕΝΔΥΤΟΝ Η ΤΕΠΙΠΟΡΠΙΣ·
Η ΤΕ ΛΥΡΗ· ΤΟ ΤΑΕΜΜΑ ΤΟ ΛΥΚΤΙΟΝ· Η ΤΕ ΦΑΡΕΤΡΗ·
ΧΡΥΣΕΑ ΚΑΙ ΤΑ ΠΕΔΙΛΑ· ΠΟΛΥΧΡΥΣΟΣ ΓΑΡ ΑΠΟΛΛΩΝ·
ΚΑΙ ΤΕ ΠΟΛΥΚΤΕΑΝΟΣ· ΠΥΘΩΝΙ ΚΕ ΤΕΚΜΗΡΑΙΟ·
ΚΑΙ ΚΕΝ ΑΕΙ ΚΑΛΟΣ ΚΑΙ ΑΕΙ ΝΕΟΣ· ΟΥ ΠΟΤΕ ΦΟΙΒΟΥ
ΘΗΛΕΙΑΙΣ ΟΥ Δ' ΟΣΣΟΝ ΕΠΙ ΧΝΟΟΣ ΗΛΘΕ ΠΑΡΕΙΑΙΣ·
ΑΙ ΔΕ ΚΟΜΑΙ ΘΥΟΕΝΤΑ ΠΕΔΩΙ ΛΕΙΒΟΥΣΙΝ ΕΛΑΙΑ·
ΟΥ ΛΙΠΟΣ ΑΠΟΛΛΩΝΟΣ ΑΠΟΣΤΑΖΟΥΣΙΝ ΕΘΕΙΡΑΙ·
ΑΛΛ' ΑΥΤΗΝ ΠΑΝΑΚΕΙΑΝ. ΕΝ ΑΣΤΕΙ Δ' ΩΙ ΚΕΝ ΕΚΕΙΝΑΙ
ΠΡΩΚΕΣ ΕΡΑΖΕ ΠΕΣΩΣΙΝ, ΑΚΗΡΙΑ ΠΑΝΤ' ΕΓΕΝΟΝΤΟ·

πλείουσιν
Lycoreus phoebus
Achiles pen breui
Niobe
ἧσται
ἄεμμα
Phoebus semper iuuenis
πρῶκες
ἀκήρια
πλείουσιν
αἴλινα

ΤΕΧΝΗι ΔΑΜΦΙΛΑΦΗΣ, ΟΥΤΙΣ ΤΟΣΟΝ ΟΣΣΟΝ ΑΠΟΛΛΩΝ. ἀμφιλαφὴς
ΚΕΙΝΟΣ ΟΙΣΤΕΥΤΗΝ ΕΛΑΧ' ΑΝΕΡΑ· ΚΕΙΝΟΣ ΑΟΙΔΟΝ·
ΦΟΙΒΩι ΓΑΡ ΚΑΙ ΤΟΞΟΝ ΕΠΙΤΡΕΠΕΤΑΙ ΚΑΙ ΑΟΙΔΗ.
ΚΕΙΝΟΥ ΔΕ ΘΡΙΑΙ ΚΑΙ ΜΑΝΤΙΕΣ· ΕΚ ΔΕ ΝΥ ΦΟΙΒΟΥ θριαι
ΙΗΤΡΟΙ ΔΕΔΑΑΣΙΝ ΑΝΑΒΛΗΣΙΝ ΘΑΝΑΤΟΙΟ.
ΦΟΙΒΟΝ ΚΑΙ ΝΟΜΙΟΝ ΚΙΚΛΗΣΚΟΜΕΝ· ΕΞΕΤΙ ΚΕΙΝΟΥ νόμιος Φοῖβος
ΕΞΟΤ' ΕΠ' ΑΜΦΡΥΣΩι ΖΕΥΓΗΤΙΔΑΣ ΕΤΡΕΦΕΝ ΙΠΠΟΥΣ.
ΗΙΘΕΟΥ ΥΠ' ΕΡΩΤΙ ΚΕΚΑΥΜΕΝΟΣ ΑΔΜΗΤΟΙΟ. Apollo captus
ΡΕΙΑ ΚΕ ΒΟΥΒΟΣΙΟΝ ΤΕΛΕΘΕΙ ΠΛΕΟΝ· ΟΥ ΔΕ ΚΕΝ ΑΙΓΕΣ amore adme
ΔΕΥΟΙΝΤΟ ΒΡΕΦΕΩΝ ΕΠΙΜΗΛΑΔΕΣ· ΗιΣΙΝ ΑΠΟΛΛΩΝ ti equos pavit
ΒΟΣΚΟΜΕΝΗιΣ ΟΦΘΑΛΜΟΝ ΕΠΗΓΑΓΕΝ. ΟΥΔ' ΑΓΑΛΑΚΤΟΙ
ΟΙΕΣ ΟΥΔ' ΑΚΥΘΟΙ· ΠΑΣΑΙ ΔΕ ΚΕΝ ΕΙΕΝ ΥΠΑΡΝΟΙ. ἄκυθοι
Η ΔΕ ΚΕ ΜΟΥΝΟΤΟΚΟΣ, ΔΙΔΥΜΟΤΟΚΟΣ ΑΙΨΑ ΓΕΝΟΙΤΟ.
ΦΟΙΒΩι Δ' ΕΣΠΟΜΕΝΟΙ ΠΟΛΙΑΣ ΔΙΕΜΕΤΡΗΣΑΝΤΟ
ΑΝΘΡΩΠΟΙ. ΦΟΙΒΟΣ ΓΑΡ ΑΕΙ ΠΤΟΛΙΕΣΣΙ ΦΙΛΗΔΕΙ
ΚΤΙΖΟΜΕΝΗιΣ. ΑΥΤΟΣ ΔΕ ΘΕΜΕΙΛΙΑ ΦΟΙΒΟΣ ΥΦΑΙΝΕΙ.
ΤΕΤΡΑΕΤΗΣ ΤΑΠΡΩΤΑ ΘΕΜΕΙΛΙΑ ΦΟΙΒΟΣ ΕΠΗΞΕ.
ΚΑΛΗι ΕΝ ΟΡΤΥΓΙΗι. ΠΕΡΙΗΓΕΟΣ ΕΓΓΥΘΙ ΛΙΜΝΗΣ. λίμνη ἑλικτὴ
ΑΡΤΕΜΙΣ ΑΓΡΩΣΣΟΥΣΑ ΚΑΡΗΑΤΑ ΣΥΝΕΧΕΣ ΑΙΓΩΝ ἐν Δήλῳ
ΚΥΝΘΙΑΔΩΝ ΦΟΡΕΕΣΚΕΝ· Ο Δ' ΕΠΛΕΚΕ ΒΩΜΟΝ ΑΠΟΛΛΩΝ.
ΔΕΙΜΑΤΟ ΜΕΝ ΚΕΡΑΕΣΣΙΝ ΕΔΕΘΛΙΑ· ΠΗΞΕ ΔΕ ΒΩΜΟΝ Cornibus ara
ΕΚ ΚΕΡΑΩΝ. ΚΕΡΑΟΥΣ ΔΕ ΠΕΡΙΞ ΥΠΕΒΑΛΛΕΤΟ ΤΟΙΧΟΥΣ. frequens
ΩΔ' ΕΜΑΘΕΝ ΤΑΠΡΩΤΑ ΘΕΜΕΙΛΙΑ ΦΟΙΒΟΣ ΕΓΕΙΡΕΙΝ.
ΦΟΙΒΟΣ ΚΑΙ ΒΑΘΥΓΕΙΟΝ ΕΜΗΝ ΠΟΛΙΝ ΕΦΡΑΣΕ ΒΑΤΤΩι. Battus

ΚΑῚ ΛΙΒΎΗΝ ἘΣΙΌΝΤΙ· ΚΌΡΑΞ ἩΓΉΣΑΤΟ ΛΑΩ͂Ι·
ΔΕΞΙΌΣ ΟἸΚΙΣΤΗ͂Ρ· ΚΑῚ ὬΜΟΣΕ ΤΕΊΧΕΑ ΔΏΣΕΙΝ
ἩΜΕΤΈΡΟΙΣ ΒΑΣΙΛΕΥ͂ΣΙΝ· ἈΕῚ Δ᾽ ΕΥ̓́ΟΡΚΟΣ ἈΠΌΛΛΩΝ
Ὦ ᾽ΠΟΛΛΟΝ· ΠΟΛΛΟΊ ΣΕ ΒΟΗΔΡΌΜΙΟΝ ΚΑΛΈΟΥΣΙ·
ΠΟΛΛΟῚ ΔΈ ΚΛΆΡΙΟΝ· ΠΆΝΤΗ ΔΈ ΤΟΙ ΟΥ̓́ΝΟΜΑ ΠΟΥΛΥ·
ΑΥ̓ΤᾺΡ ἘΓῺ ΚΑΡΝΕΙ͂ΟΝ· ἘΜΟῚ ΠΑΤΡΏΙΟΝ ΟὝΤΩ·
ΣΠΆΡΤΗ ΤΟΙ ΚΑΡΝΕΙ͂Ε ΤΌΔΕ ΠΡΏΤΙΣΤΟΝ ἜΔΕΘΛΟΝ·
ΔΕΎΤΕΡΟΝ ΑΥ̓͂ ΘΉΡΗ· ΤΡΊΤΑΤΟΝ ΓΕ ΜῈΝ ἌΣΤΥ ΚΥΡΉΝΗΣ·
ἘΚ ΜΈΝ ΣΕ ΣΠΆΡΤΗΣ ἝΚΤΟΝ ΓΈΝΟΣ ΟἸΔΙΠΌΔΑΟ,
ἬΓΑΓΕ ΘΗΡΑΊΗΝ ἘΣ ἈΠΌΚΤΙΣΙΝ· ἘΚ ΔΈ ΣΕ ΘΉΡΗΣ
ΟΥ̓͂ΛΟΣ ἈΡΙΣΤΟΤΈΛΗΣ, ἈΣΒΥΣΤΊΔΙ ΠΆΡΘΕΤΟ ΓΑΊΗΙ·
ΔΕΙ͂ΜΕ ΔΈ ΤΟΙ ΜΆΛΑ ΚΑΛῸΝ ἈΝΆΚΤΟΡΟΝ· ἘΝ ΔῈ ΠΌΛΗΙ
ΘΗ͂ΚΕ ΤΕΛΕΣΦΟΡΊΗΝ ἘΠΕΤΉΣΙΟΝ· ἯΙ ἘΝΙ ΠΟΛΛΟῚ
ΥΣΤΆΤΙΟΝ ΠΊΠΤΟΥΣΙΝ ἘΠΙΣΧΊΟΝ ὮΙ ἌΝΑ ΤΑΥ͂ΡΟΙ·
ἸῊ ἸῊ ΚΑΡΝΕΙ͂Ε ΠΟΛΎΛΛΙΤΕ· ΣΕΙ͂Ο ΔῈ ΒΩΜΟῚ
ἌΝΘΕΑ ΜῈΝ ΦΟΡΈΟΥΣΙΝ ἘΝ ΕἼΑΡΙ, ΤΌΣΣΑ ΠΕΡ ὯΡΑΙ
ΠΟΙΚΊΛ᾽ ἈΓΙΝΕΥ͂ΣΙ ΖΕΦΎΡΟΥ ΠΝΕΊΟΝΤΟΣ ἘΈΡΣΗΝ·
ΧΕΊΜΑΤΙ ΔῈ ΚΡΌΚΟΝ ἩΔΥ͂Ν· ἈΕῚ ΔΈ ΤΟΙ ἈΈΝΑΟΝ ΠΥ͂Ρ·
ΟΥ̓ ΔΈ ΠΟΤΕ ΧΘΙΖῸΝ ΠΕΡΙΒΌΣΚΕΤΑΙ ἌΝΘΡΑΚΑ ΤΈΦΡΗ·
Ἦ Ρ᾽ ἘΧΆΡΗ ΜΈΓΑ ΦΟΙ͂ΒΟΣ, ὍΤΕ ΖΩΣΤΗ͂ΡΕΣ ἘΝΥΟΥ͂Σ
ἈΝΈΡΕΣ ὨΡΧΉΣΑΝΤΟ ΜΕΤᾺ ΞΑΝΘΗ͂ΙΣΙ ΛΙΒΎΣΣΗΙΣ·
ΤΈΘΜΙΑΙ ΕΥ̓ΤΈ ΣΦΙΝ ΚΑΡΝΕΙΆΔΕΣ ἮΛΥΘΟΝ ὯΡΑΙ·
ΟἹ Δ᾽ ΟΥ̓́ΠΩ ΠΗΓΗ͂Σ ΚΥΡΗ͂Σ ἘΔΎΝΑΝΤΟ ΠΕΛΆΣΣΑΙ·
ΔΩΡΙΈΕΣ· ΠΥΚΙΝῊΝ ΔῈ ΝΆΠΑΙΣ ἌΖΙΛΙΝ ἜΝΑΙΟΝ·

ΤΟΥΣ ΜΕΝ ΑΝΑΞ ΙΔΕΝ ΑΥΤΟΣ· ΕΗΙ ΔΕ ΠΕΔΕΙΞΑΤΟ ΝΥΜΦΗΙ·
ΣΤΑΣ ΕΠΙ ΜΥΡΤΟΥΣΗΣ ΚΕΡΑΤΩΔΕΟΣ. ΗΧΙ ΛΕΟΝΤΑ
ΥΨΗΙΣ ΚΑΤΕΠΕΦΝΕ. ΒΟΩΝ ΣΙΝΙΝ ΕΥΡΥΠΥΛΟΙΟ·
ΟΥ ΚΕΙΝΟΥ ΧΟΡΟΝ ΕΙΔΕ ΘΕΩΤΕΡΟΝ ΑΛΛΟΝ ΑΠΟΛΛΩΝ·
ΟΥ ΔΕ ΠΟΛΕΙ ΤΟΣ' ΕΝΕΙΜΕΝ ΟΦΕΛΣΙΜΑ ΤΟΣΣΑ ΚΥΡΗΝΗΙ·
ΜΝΩΟΜΕΝΟΣ ΠΡΟΤΕΡΗΣ ΑΡΠΑΚΤΥΟΣ· ΟΥ ΔΕ ΜΕΝ ΑΥΤΟΙ
ΒΑΤΤΙΑΔΑΙ ΦΟΙΒΟΙΟ ΠΛΕΟΝ ΘΕΟΝ ΑΛΛΟΝ ΕΤΙΣΑΝ·
ΙΗ ΙΗ ΠΑΙΗΟΝ ΑΚΟΥΟΜΕΝ ΟΥΝΕΚΑ ΤΟΥΤΟ
ΔΕΛΦΟΣ ΤΟΙ ΠΡΩΤΙΣΤΟΝ ΕΦΥΜΝΙΟΝ ΕΥΡΕΤΟ ΛΑΟΣ·
ΗΜΟΣ ΕΚΗΒΟΛΙΗΝ ΧΡΥΣΕΩΝ ΕΠΕΔΕΙΚΝΥΣΟ ΤΟΞΩΝ·
ΠΥΘΩ ΤΟΙ ΚΑΤΙΟΝΤΙ ΣΥΝΗΝΤΕΤΟ ΔΑΙΜΟΝΙΟΣ ΘΗΡ·
ΑΙΝΟΣ ΟΦΙΣ· ΤΟΝ ΜΕΝ ΣΥ ΚΑΤΗΝΑΡΕΣ ΑΛΛΟΝ ΕΠ' ΑΛΛΩΙ
ΒΑΛΛΩΝ ΩΚΥΝ ΟΙΣΤΟΝ· ΕΠΗΥΤΗΣΕ ΔΕ ΛΑΟΣ·
ΙΗ ΙΗ ΠΑΙΗΟΝ· ΙΕΙ ΒΕΛΟΣ· ΕΥΘΥ ΣΕ ΜΗΤΗΡ
ΓΕΙΝΑΤ' ΑΟΣΣΗΤΗΡΑ. ΤΟ Δ' ΕΞ ΕΤΙ ΚΕΙΘΕΝ ΑΕΙΔΗΙ·
Ο ΦΘΟΝΟΣ ΑΠΟΛΛΩΝΟΣ ΕΠ' ΟΥΑΤΑ ΛΑΘΡΙΟΣ ΕΙΠΕΝ·
ΟΥΚ ΑΓΑΜΑΙ ΤΟΝ ΑΟΙΔΟΝ, ΟΣ ΟΥ Δ' ΟΣΑ ΠΟΝΤΟΣ ΑΕΙΔΕΙ·
ΤΟΝ ΦΘΟΝΟΝ Ω'ΠΟΛΛΩΝ ΠΟΔΙ Τ' ΗΛΑΣΕΝ, ΩΔΕ Τ' ΕΕΙΠΕΝ·
ΑΣΣΥΡΙΟΥ ΠΟΤΑΜΟΙΟ ΜΕΓΑΣ ΡΟΟΣ· ΑΛΛΑ ΤΑ ΠΟΛΛΑ
ΛΥΜΑΤΑ ΓΗΣ ΚΑΙ ΠΟΛΛΟΝ ΕΦ' ΥΔΑΤΙ ΣΥΡΦΕΤΟΝ ΕΛΚΕΙ·
ΔΟΙΗ, Δ' ΟΥΚ ΑΠΟ ΠΑΝΤΟΣ ΥΔΩΡ ΦΟΡΕΟΥΣΙ ΜΕΛΙΣΣΑΙ·
ΑΛΛ' ΗΤΙΣ ΚΑΘΑΡΗ ΤΕ ΚΑΙ ΑΧΡΑΑΝΤΟΣ ΑΝΕΡΠΕΙ
ΠΙΔΑΚΟΣ ΕΞ ΙΕΡΗΣ ΟΛΙΓΗ ΛΙΒΑΣ. ΑΚΡΟΝ ΑΩΤΟΝ·
ΧΑΙΡΕ ΑΝΑΞ· Ο ΔΕ ΜΩΜΟΣ ΙΝ' Ο ΦΘΟΝΟΣ, ΕΝΘΑ ΝΕΟΙΤΟ·

Myrtusa mons africe
Cyrene nympha hypsei f.
Eurypyli bou
Pytho serpens
ἀοσσητῆρα
μέλισσαι sacerdotes cereris
Momus deus

# ΕΙΣ ΑΡΤΕΜΙΝ.

ΑΡΤΕΜΙΝ· ΟΥ ΓΑΡ ΕΛΑΦΡΟΝ ΑΕΙΔΟΝΤΕΣΣΙ ΛΑΘΕΣΘΑΙ·
ΥΜΝΕΟΜΕΝ· ΤΗΙ ΤΟΞΑ ΛΑΓΩΒΟΛΙΑΙ ΤΕ ΜΕΛΟΝΤΑΙ·
ΚΑΙ ΧΟΡΟΣ ΑΜΦΙΛΑΦΗΣ· ΚΑΙ ΕΝ ΟΥΡΕΣΙΝ ΕΨΙΑΑΣΘΑΙ·
ΑΡΧΟΜΕΝΟΙ· ΩΣ ΟΤΕ ΠΑΤΡΟΣ ΕΦΕΖΟΜΕΝΗ ΓΟΝΑΤΕΣΣΙ
ΠΑΙΣ ΕΤΙ ΚΟΥΡΙΖΟΥΣΑ ΤΑΔΕ ΠΡΟΣΕΕΙΠΕ ΓΟΝΗΑ·
ΔΟΣ ΜΟΙ ΠΑΡΘΕΝΙΗΝ ΑΙΩΝΙΟΝ ΑΠΠΑ ΦΥΛΑΣΣΕΙΝ·
ΚΑΙ ΠΟΛΥΩΝΥΜΙΗΝ. ΙΝΑ ΜΗ ΜΟΙ ΦΟΙΒΟΣ ΕΡΙΖΗΙ·
ΔΟΣ Δ' ΙΟΥΣ ΚΑΙ ΤΟΞΑ· ΕΑ ΠΑΤΕΡ· ΟΥ ΣΕ ΦΑΡΕΤΡΗΝ
ΟΥ Δ' ΑΙΤΕΩ ΜΕΓΑ ΤΟΞΟΝ. ΕΜΟΙ ΚΥΚΛΩΠΕΣ ΟΙΣΤΟΥΣ
ΑΥΤΙΚΑ ΤΕΧΝΗΣΟΝΤΑΙ. ΕΜΟΙ Δ' ΕΥΚΑΜΠΕΣ ΑΕΜΜΑ·
ΑΛΛΑ ΦΑΕΣΦΟΡΙΗΝ ΤΕ· ΚΑΙ ΕΣ ΓΟΝΥ ΜΕΧΡΙ ΧΙΤΩΝΑ
ΖΩΝΥΣΘΑΙ ΛΕΓΝΩΤΟΝ. ΙΝ' ΑΓΡΙΑ ΘΗΡΙΑ ΚΑΙΝΩ·
ΔΟΣ ΔΕ ΜΟΙ ΕΞΗΚΟΝΤΑ ΧΟΡΗΤΙΔΑΣ ΩΚΕΑΝΙΝΑΣ.
ΠΑΣΑΣ ΕΙΝΕΤΕΑΣ· ΠΑΣΑΣ ΕΤΙ ΠΑΙΔΑΣ ΑΜΙΤΡΟΥΣ·
ΔΟΣ ΔΕ ΜΟΙ ΑΜΦΙΠΟΛΟΥΣ ΑΜΝΙΣΙΔΑΣ ΕΙΚΟΣΙ ΝΥΜΦΑΣ·
ΑΙ ΤΕ ΜΟΙ ΕΝΔΡΟΜΙΔΑΣ ΤΕ ΚΑΙ ΟΠΠΟΤΕ ΜΗΚΕΤΙ ΛΥΓΚΑΣ
ΜΗΤ' ΕΛΑΦΟΥΣ ΒΑΛΛΟΙΜΙ, ΘΟΟΥΣ ΚΥΝΑΣ ΕΥ ΚΟΜΕΟΙΕΝ·
ΔΟΣ ΔΕ ΜΟΙ ΟΥΡΕΑ ΠΑΝΤΑ. ΠΟΛΙΝ ΔΕ ΜΟΙ ΗΝΤΙΝΑ ΝΕΙΜΟΝ·
ΗΝΤΙΝΑ ΛΗΙΣ. ΣΠΑΡΝΟΝ ΓΑΡ ΟΤ' ΑΡΤΕΜΙΣ ΑΣΤΥ ΚΑΤΕΙΣΙΝ·
ΟΥΡΕΣΙΝ ΟΙΚΗΣΩ· ΠΟΛΕΣΙΝ Δ' ΕΠΙΜΙΞΟΜΑΙ ΑΝΔΡΩΝ,
ΜΟΥΝΟΝ ΟΤ' ΟΞΕΙΑΙΣΙΝ ΥΠ' ΩΔΙΝΕΣΣΙ ΓΥΝΑΙΚΕΣ
ΤΕΙΡΟΜΕΝΑΙ ΚΑΛΕΟΥΣΙ ΒΟΗΘΟΟΝ. ΗΙΣΙ ΜΕ ΜΟΙΡΑΙ
ΓΕΙΝΟΜΕΝΗΝ ΤΟ ΠΡΩΤΟΝ ΕΠΕΚΛΗΡΩΣΑΝ ΑΡΗΓΕΙΝ·

Dianę

ΟΤΤΙ ΜΕ ΚΑΙ ΤΙΚΤΟΥΣΑ ΚΑΙ ΟΥΚΗΛΓΗΣΕ ΦΕΡΟΥΣΑ
ΜΗΤΗΡ· ΑΛΛ᾽ ΑΜΟΓΗΤΙ ΦΙΛΩΝ ΑΠΕΘΗΚΑΤΟ ΚΟΛΠΩΝ·
ΩΣ Η ΠΑΙΣ ΕΙΠΟΥΣΑ ΓΕΝΕΙΑΔΟΣ ΗΘΕΛΕ ΠΑΤΡΟΣ
ΑΨΑΣΘΑΙ· ΠΟΛΛΑΣ ΔΕ ΜΑΤΗΝ ΕΤΑΝΥΣΣΑΤΟ ΧΕΙΡΑΣ,
ΜΕΧΡΙΣ ΙΝΑ ΨΑΥΣΕΙΕ· ΠΑΤΗΡ Δ᾽ ΕΠΕΝΕΥΣΕ ΓΕΛΑΣΣΑΣ·
ΦΗ ΔΕ ΚΑΤΑΡΡΕΖΩΝ· ΟΤΕ ΜΟΙ ΤΟΙΑΥΤΑ ΘΕΑΙΝΑΙ
ΤΙΚΤΟΙΕΝ· ΤΥΤΘΟΝ ΚΕΝ ΕΓΩ ΖΗΛΗΜΟΝΟΣ ΗΡΗΣ
ΧΩΟΜΕΝΗΣ ΑΛΕΓΟΙΜΙ· ΦΕΡΕΥ ΤΕΚΟΣ ΟΣΣ᾽ ΕΘΕΛΗΜΟΣ
ΑΙΤΙΖΕΙΣ· ΚΑΙ Δ᾽ ΑΛΛΑ ΠΑΤΗΡ ΕΤΙ ΜΕΙΖΟΝΑ ΔΩΣΕΙ.
ΤΡΙΣ ΔΕΚΑ ΤΟΙ ΠΤΟΛΙΕΘΡΑ ΚΑΙ ΟΥΧ ΕΝΑ ΠΥΡΓΟΝ ΟΠΑΣΣΩ·
ΤΡΙΣ ΔΕΚΑ ΤΟΙ ΠΤΟΛΙΕΘΡΑ, ΤΑ, ΜΗ ΘΕΟΝ ΑΛΛΟΝ ΑΕΞΕΙΝ
ΕΙΣΕΤΑΙ· ΑΛΛΑ ΜΟΝΗΝ ΣΕ. ΚΑΙ ΑΡΤΕΜΙΔΟΣ ΚΑΛΕΕΣΘΑΙ·
ΠΟΛΛΑΣ ΔΕ ΞΥΝΗ ΠΟΛΙΑΣ ΔΙΑΜΕΤΡΗΣΑΣΘΑΙ·
ΜΕΣΣΟΓΕΩΣ· ΝΗΣΟΥΣ ΤΕ· ΚΑΙ ΕΝ ΠΑΣΗΙΣΙΝ ΕΣΟΝΤΑΙ
ΑΡΤΕΜΙΔΟΣ ΒΩΜΟΙ ΤΕ ΚΑΙ ΑΛΣΕΑ· ΚΑΙ ΜΕΝ ΑΓΥΙΑΙΣ
ΕΣΣΗΙ ΚΑΙ ΛΙΜΕΝΕΣΣΙΝ ΕΠΙΣΚΟΠΟΣ· ΩΣ Ο ΜΕΝ ΕΙΠΩΝ,
ΜΥΘΟΝ ΕΠΕΚΡΗΗΝΕ ΚΑΡΗΑΤΙ· ΒΑΙΝΕ ΔΕ ΚΟΥΡΗ
ΛΕΥΚΟΝ ΕΠΙ ΚΡΗΤΑΙΟΝ ΟΡΟΣ ΚΕΚΟΜΗΜΕΝΟΝ ΥΛΗΙ·
ΕΝΘΕΝ ΕΠ᾽ ΩΚΕΑΝΟΝ· ΠΟΛΕΑΣ Δ᾽ ΕΠΕΛΕΞΑΤΟ ΝΥΜΦΑΣ.
ΠΑΣΑΣ ΕΙΝΕΤΕΑΣ. ΠΑΣΑΣ ΕΤΙ ΠΑΙΔΑΣ ΑΜΙΤΡΟΥΣ·
ΧΑΙΡΕ ΔΕ ΚΑΙΡΑΤΟΣ ΠΟΤΑΜΟΣ ΜΕΓΑ. ΧΑΙΡΕ ΔΕ ΤΗΘΥΣ
ΟΥΝΕΚΑ ΛΗΤΩΙΔΙ ΘΥΓΑΤΕΡΑΣ ΠΕΜΠΕΝ ΑΜΟΡΒΟΥΣ·
ΑΥΘΙ ΔΕ ΚΥΚΛΩΠΑΣ ΜΕΤΕΚΙΑΘΕ, ΤΟΥΣ ΜΕΝ ΕΤΕΤΜΕ
ΝΗΣΩΙ ΕΝΙ ΛΙΠΑΡΗΙ· ΛΙΠΑΡΗ ΝΕΟΝ· ΑΛΛΑ ΤΟΤ᾽ ΕΣΚΕΝ

Diana noluit mentu[m] iouis tangere

Juppiter capite moto uerba firmauit

Leucus mo[n]s cretę

Ceratus fl[uvius] cretę & urbs

ἀμορβούς

Lipare a Cyclopibus habitata

Hymnus

Meligunis pri[us] dicta fuit Lipara

ποτίστρην

μύδρος

ΟΥΝΟΜΑ ΟΙ ΜΕΛΙΓΟΥΝΙΣ· ΕΠΑΚΜΟΣΙΝ ΗΦΑΙΣΤΟΙΟ
ΕΣΤΑΟΤΑΣ ΠΕΡΙ ΜΥΔΡΟΝ. ΕΠΕΙΓΕΤΟ ΓΑΡ ΜΕΓΑ ΕΡΓΟΝ·
ΙΠΠΕΙΗΝ ΤΕΤΥΚΟΝΤΟ ΠΟΣΕΙΔΑΩΝΙ ΠΟΤΙΣΤΡΗΝ·
ΑΙ ΝΥΜΦΑΙ ΔΕΔΔΕΙΣΑΝ ΟΠΩΣ ΙΔΟΝ ΑΙΝΑ ΠΕΛΩΡΑ·
ΠΡΗΟΣΙΝ ΟΣΣΕΙΟΙΣΙΝ ΕΟΙΚΟΤΑΣ ΠΑΣΙ ΔΥΠΟΦΡΥΝ
ΦΑΕΑ ΜΟΥΝΟΓΛΗΝΑ. ΣΑΚΕΙ ΙΣΑ ΤΕΤΡΑΒΟΕΙΩΙ.
ΔΕΙΝΟΝ ΥΠΟΓΛΑΥΣΟΝΤΑ. ΚΑΙ ΟΠΠΟΤΕ ΔΟΥΠΟΝ ΑΚΟΥΣΑΝ
ΑΚΜΟΝΟΣ ΗΧΗΣΑΝΤΟΣ· ΕΠΕΙ ΜΕΓΑ ΠΟΥΛΥ ΤΑΗΜΑ
ΦΥΣΑΩΝ ΑΥΤΩΝ ΤΕ ΒΑΡΥΝ ΣΤΟΝΟΝ· ΑΥΕ ΓΑΡ ΑΙΤΝΗ
ΑΥΕ ΔΕ ΤΡΙΝΑΚΙΗ ΣΙΚΑΝΩΝ ΕΔΟΣ. ΑΥΕ ΔΕ ΓΕΙΤΩΝ
ΙΤΑΛΙΗ· ΜΕΓΑΛΗΝ ΔΕ ΒΟΗΝ ΕΠΙ ΚΥΡΝΟΣ ΑΥΤΕΙ·
ΕΥΘΟΙ ΓΕ ΡΑΙΣΤΗΡΑΣ ΑΕΙΡΑΜΕΝΟΙ ΥΠΕΡ ΩΜΩΝ·
Η ΧΑΛΚΟΝ ΖΕΙΟΝΤΑ ΚΑΜΙΝΟΘΕΝ· ΗΕ ΣΙΔΗΡΟΝ
ΑΜΒΟΛΑΔΙΣ ΤΕΤΥΠΟΝΤΕΣ· ΕΠΕΙ ΜΕΓΑ ΜΟΧΘΗΣΕΙΑΝ·
ΤΩΙ ΣΦΕΑΣ ΟΥΚΕΤΑΛΑΣΣΑΝ ΑΚΗΔΕΕΣ ΩΚΕΑΝΙΝΑΙ
ΟΥΤΑΝΤΗΝ ΙΔΕΕΙΝ. ΟΥΤΕ ΚΤΥΠΟΝ ΟΥΑΣΙ ΔΕΧΘΑΙ·
ΟΥ ΝΕΜΕΣΙΣ· ΚΕΙΝΟΥΣ ΔΕ ΚΑΙ ΑΙ ΜΑΛΑ ΜΗΚΕΤΙ ΤΥΤΘΑΙ
ΟΥΔΕ ΠΟΤΑΦΡΙΚΤΙ ΜΑΚΑΡΩΝ ΟΡΟΩΣΙ ΘΥΓΑΤΡΕΣ·
ΑΛΛΟΤΕ ΚΟΥΡΑΩΝ ΤΙΣ ΑΠΕΙΘΕΑ ΜΗΤΕΡΙ ΤΕΥΧΟΙ·
ΜΗΤΗΡ ΜΕΝ ΚΥΚΛΩΠΑΣ ΕΗΙ ΕΠΙ ΠΑΙΔΙ ΚΑΛΙΣΤΡΕΙ·
ΑΡΓΗΝ Η ΣΤΕΡΟΠΗΝ. Ο ΔΕ ΔΩΜΑΤΟΣ ΕΚ ΜΥΧΑΤΟΙΟ
ΕΡΧΕΤΑΙ ΕΡΜΕΙΗΣ ΣΠΟΔΙΗΙ ΚΕΧΡΗΜΕΝΟΣ ΑΙΘΗΙ·
ΑΥΤΙΚΑ ΤΗΝ ΚΟΥΡΗΝ ΜΟΡΜΥΣΣΕΤΑΙ· Η ΔΕ ΤΕΚΟΥΣΗΣ
ΔΥΝΕΙ ΕΣΩ ΚΟΛΠΟΥΣ ΘΕΜΕΝΗ ΕΠΙ ΦΑΕΣΙ ΧΕΙΡΑΣ·

ἐτάλασσαν =

Arges
Steropes
Brontes deq[ue] paulo post

Οὐ νέμεσις

In diana

ΚΟΥΡΑ. ΣΥ ΔΕ ΠΡΟΤΕΡΩ ΠΕΡ ΕΤΙ ΤΡΙΕΤΗΡΟΣ ΕΟΥΣΑ,
ΕΥΤ' ΕΜΟΛΕΝ ΛΗΤΩ ΣΕ ΜΕΤΑΓΚΑΛΙΔΕΣΣΙ ΦΕΡΟΥΣΑ
ΗΦΑΙΣΤΟΥ ΚΑΛΕΟΝΤΟΣ, ΟΠΩΣ ΟΡΤΗΡΙΑ ΔΟΙΗ·
ΒΡΟΝΤΕΩ ΣΕ ΣΤΙΒΑΡΟΙΣΙΝ ΕΦΕΣΣΑΜΕΝΟΥ ΓΟΝΑΤΕΣΣΙ — Brontes
ΣΤΗΘΕΟΣ ΕΚ ΜΕΓΑΛΟΥ ΛΑΣΙΗΣ ΕΔΡΑΞΑΟ ΧΑΙΤΗΣ·
ΩΛΟΨΑΣ ΔΕ ΒΙΗΦΙ. ΤΟ Δ' ΑΤΡΙΧΟΝ ΕΙΣΕΤΙ ΚΑΙ ΝΥΝ, — ὤλοψας
ΜΕΣΣΑΤΙΟΝ ΣΤΕΡΝΟΙΟ ΜΕΝΕΙ ΜΕΡΟΣ. ΩΣ ΟΤΕ ΚΟΡΣΗΝ — κόρσην
ΦΩΤΟΣ ΕΝΙΔΡΥΝΘΕΙΣΑ ΚΟΜΗΝ ΕΠΕΝΕΙΜΑΤ' ΑΛΩΠΗΞ·
ΤΩι ΜΑΛΑ ΘΑΡΣΑΛΕΗ ΣΦΕ ΤΑΔΕ ΠΡΟΣΕΛΕΞΑΤΟ ΤΗΜΟΣ·
ΚΥΚΛΩΠΕΣ· Η ΜΟΙ ΤΙ ΚΥΔΩΝΙΟΝ ΕΙ Δ' ΑΓΕ ΤΟΞΟΝ
ΗΔ' ΙΟΥΣ ΚΟΙΛΗΝ ΤΕ ΚΑΤΑ ΚΛΗΙΔΑ ΒΕΛΕΜΝΩΝ
ΤΕΥΞΑΤΕ· ΚΑΙ ΓΑΡ ΕΓΩ ΛΗΤΩΙΑΣ ΩΣΠΕΡ ΑΠΟΛΛΩΝ.
ΑΙ ΔΕ Κ' ΕΓΩ ΤΟΞΟΙΣ ΜΟΝΙΟΝ ΔΑΚΟΣ Η ΤΙ ΠΕΛΩΡΟΝ
ΘΗΡΙΟΝ ΑΓΡΕΥΣΩ, ΤΟ ΔΕ ΚΕΝ ΚΥΚΛΩΠΕΣ ΕΔΟΙΕΝ. — ἔδοιεν
ΕΝΝΕΠΕΣ. ΟΙ Δ' ΕΤΕΛΕΣΣΑΝ. ΑΦΑΡ Δ' ΩΠΛΙΣΣΑΟ ΔΑΙΜΟΝ.
ΑΙΨΑ Δ' ΕΠΙ ΣΚΥΛΑΚΑΣ ΠΑΛΙΝ ΗΙΕΣ· ΙΚΕΟ Δ' ΑΥΛΙΝ
ΑΡΚΑΔΙΚΗΝ ΕΠΙ ΠΑΝΟΣ· Ο ΔΕ ΚΡΕΑ ΛΥΓΚΟΣ ΕΤΑΜΝΕ — Pan deus
ΜΑΙΝΑΛΙΗΣ, ΙΝΑ ΟΙ ΤΟΚΑΔΕΣ ΚΥΝΕΣ ΕΙΔΑΡ ΕΔΟΙΕΝ.
ΤΙΝ Δ' Ο ΓΕΝΕΙΗΤΗΣ ΔΥΟ ΜΕΝ ΚΥΝΑΣ ΗΜΙΣΥ ΠΗΓΟΥΣ.
ΤΡΕΙΣ ΔΕ ΠΑΡΟΥΑΤΙΟΥΣ· ΕΝΑ Δ' ΑΙΟΛΟΝ. ΟΙ ΡΑ ΛΕΟΝΤΑΣ
ΑΥΤΟΥΣ ΑΥ ΕΡΥΟΝΤΕΣ ΟΤΕ ΔΡΑΞΑΙΝΤΟ ΔΕΡΑΩΝ
ΕΙΛΟΝ ΕΤΙ ΖΩΟΝΤΑΣ ΕΠ' ΑΥΛΙΟΝ. ΕΠΤΑ Δ' ΕΔΩΚΕ
ΘΑΣΣΟΝΑΣ ΑΥΡΑΩΝ ΚΥΝΟΣΟΥΡΙΔΑΣ· ΑΙ ΡΑ ΔΙΩΞΑΙ
ΩΚΙΣΤΑΙ ΝΕΒΡΟΥΣ ΤΕ ΚΑΙ ΟΥ ΜΥΟΝΤΑ ΛΑΓΩΟΝ.

λαγωὸς οὐ μύων

Hymnus

ΚΑῚ ΚΟΊΤΗΝ ἘΛΆΦΟΙΟ· ΚΑῚ ὝΣΤΡΙΧΟΣ ἜΝΘΑ ΚΑΛΙΑΊ
ΣΗΜῆΝΑΙ· ΚΑῚ ΖΟΡΚῸΣ ἘΠ' ἼΧΝΙΟΝ ἩΓΉΣΑΣΘΑΙ· (Ζορκός)
ἜΝΘΕΝ ἈΠΕΡΧΟΜΈΝΗ, ΜΕΤᾺ ΚΑῚ ΚΎΝΕΣ ἘΣΣΕΎΟΝΤΟ·
ΕὟΡΕΣ ἘΠῚ ΠΡΟΜΟΛῇΣΙ ὌΡΕΟΣ ΤΟῦ ΠΑΡΡΑΣΊΟΙΟ
ΣΚΑΙΡΟΎΣΑΣ ἘΛΆΦΟΥΣ ΜΈΓΑ ΤΙ ΧΡΈΟΣ· ΑἹ ΜῈΝ ἘΠ' ὌΧΘῌΣΙ (Ceruę)
ΑἹ ἘΝ ἘΒΟΥΚΟΛΈΟΝΤΟ ΜΕΛΑΜΨΗΦΊΔΟΣ ἈΝΑΎΡΟΥ· (Anaurus fl.)
ΜΆΣΣΟΝΕΣ Ἢ ΤΑῦΡΟΙ· ΚΕΡΆΩΝ Δ' ἈΠΕΛΆΜΠΕΤΟ ΧΡΥΣΌΣ· (μάσσονες)
ἘΞΑΠΊΝΗΣ Δ' ἜΤΑΦΕΣ ΤΕ ΚΑῚ ὋΝ ΠΟΤῚ ΘΥΜῸΝ ἜΕΙΠΕΣ·
ΤΟῦΤΌ ΚΕΝ ἈΡΤΈΜΙΔΟΣ ΠΡΩΤΆΓΡΙΟΝ ἌΞΙΟΝ ΕἼΗ·
ΠΈΝΤ' ἜΣΑΝ ΑἹ ΠᾶΣΑΙ· ΠΊΣΥΡΑΣ Δ' ἜΛΕΣ ὮΚΑ ΘΈΟΥΣΑ·
ΝΌΣΦΙ ΚΥΝΟΔΡΟΜΊΗΣ ἽΝΑ ΤΟΙ ΘΟῸΝ ἍΡΜΑ ΦΈΡΩΣΙ· (Dianę currus trahitur a ceruis)
ΤῊΝ ΔῈ ΜΊΑΝ ΚΕΛΑΔΟΝΤΟΣ ὙΠῈΡ ΠΟΤΑΜΟῖΟ ΦΥΓΟῦΣΑΝ,
ἭΡΗΣ ΑἸΝΕΣΊῌΣΙΝ ἈΈΘΛΙΟΝ ἩΡΑΚΛῆΪ
ὝΣΤΑΤΟΝ ὌΦΡΑ ΓΈΝΟΙΤΟ ΠΆΓΟΣ ΚΕΡΎΝΙΟΣ ἘΔΕΚΤΟ·
ἌΡΤΕΜΙ ΠΑΡΘΕΝΊΗ· ΤΙΤΥΟΚΤΌΝΕ· ΧΡΎΣΕΑ ΜΈΝ ΤΟΙ (Ceruam quam hercules sagittis confecit)
ἜΝΤΕΑ ΚΑῚ ΖΏΝΗ· ΧΡΎΣΕΟΝ Δ' ἘΖΕΎΞΑΟ ΔΊΦΡΟΝ·
ἘΝ Δ' ἘΒΆΛΕΥ ΧΡΎΣΕΙΑ ΘΕᾺ ΚΕΜΆΔΕΣΣΙ ΧΑΛΙΝΆ·
ΠΟῦ ΔΈ ΣΕ ΤῸ ΠΡῶΤΟΝ ΚΕΡΌΕΙΣ ὌΧΟΣ ἮΡΞΑΤ' ἈΕΊΡΕΙΝ· (κεμάδεσσι)
ΑἹΜῼ ἘΠῚ ΘΡΗΪ́ΚΙ· ΤΌΘΕΝ ΒΟΡΈΑΟ ΚΑΤΑΪ́Ξ
ἜΡΧΕΤΑΙ ἈΧΛΑΊΝΟΙΣΙ ΔΥΣΑΈΑ ΚΡΥΜῸΝ ἌΓΟΥΣΑ· (Frena aurea ceruarum currum dianę uehentium)
ΠΟῦ Δ' ἜΤΑΜΕΣ ΠΕΎΚΗΝ· ἈΠῸ ΔῈ ΦΛΟΓῸΣ ἭΨΑΟ ΠΟΊΗΣ
ΜΥΣῷ ἘΝ ΟΥ̓ΛΎΜΠῼ· ΦΆΕΟΣ Δ' ἘΝΈΗΚΑΣ ἈΫΤΜῊΝ
ἌΣΒΕΣΤΟΥ· ΤΌ ῬΑ ΠΑΤΡῸΣ ἈΠΟΣΤΆΖΟΥΣΙ ΚΕΡΑΥΝΟΊ·
ΠΟΣΣΆΚΙ Δ' ἈΡΓΥΡΈΟΙΟ ΘΕῊ ΠΕΙΡΉΣΑΟ ΤΌΞΟΥ·

Apollinis in dianam

ΠΡΩΤΟΝ ΕΠΙ ΠΤΕΛΕΗΝ· ΤΟ ΔΕ ΔΕΥΤΕΡΟΝ ΗΚΑΣ ΕΠΙ ΔΡΥΝ·
ΤΟ ΤΡΙΤΟΝ ΑΥΤ' ΕΠΙ ΘΗΡΑ. ΤΟ ΤΕΤΡΑΤΟΝ, ΟΥΚΕΤ' ΕΠΙ ΔΡΥΝ·
ΑΛΛΑ ΜΙΝ ΕΙΣ ΑΔΙΚΩΝ ΕΒΑΛΕΣ ΠΟΛΙΝ. ΟΙ ΤΕ ΠΕΡΙ ΣΦΕΑΣ·
ΟΙ ΤΕ ΠΕΡΙ ΞΕΙΝΟΥΣ ΑΛΙΤΗΜΟΝΑ ΠΟΛΛΑ ΤΕΛΕΣΚΟΝ·
ΣΧΕΤΛΙΟΙ. ΟΙΣ ΤΥΝΗ ΧΑΛΕΠΗΝ ΕΜΜΑΞΕΑΙ ΟΡΓΗΝ· ἐμμάξεαι
ΚΤΗΝΕΑ ΦΙΝ ΛΙΜΟΣ ΕΠΙΒΟΣΚΕΤΑΙ. ΕΡΓΑ ΔΕ ΠΑΧΝΗ·
ΚΕΙΡΟΝΤΑΙ ΔΕ ΓΕΡΟΝΤΕΣ ΕΦ' ΥΙΑΣΙΝ. ΑΙ ΔΕ ΓΥΝΑΙΚΕΣ·
Η ΒΛΗΤΑΙ ΘΝΗΣΚΟΥΣΙ ΛΕΧΩΙΔΕΣ, ΗΕ ΦΥΓΟΥΣΑΙ
ΤΙΚΤΟΥΣΙΝ· ΤΩΝ Δ' ΟΥΔΕΝ ΕΠΙ ΣΦΥΡΟΝ ΟΡΘΟΝ ΑΝΕΣΤΗ·
ΟΙΣ ΔΕ ΚΕΝ ΕΥΜΕΙΔΗΣ ΤΕ ΚΑΙ ΙΛΑΟΣ ΑΥΓΑΣΣΗΑΙ,
ΚΕΙΝΟΙΣ ΕΥ ΜΕΝ ΑΡΟΥΡΑ ΦΕΡΕΙ ΣΤΑΧΥΝ. ΕΥ ΔΕ ΓΕΝΕΘΛΗ
ΤΕΤΡΑΠΟΔΩΝ. ΕΥ Δ' ΟΛΒΟΣ ΑΕΞΕΤΑΙ. ΟΥΔ' ΕΠΙ ΣΗΜΑ
ΕΡΧΟΝΤΑΙ· ΠΛΗΝ ΕΥΤΕ ΠΟΛΥΧΡΟΝΙΟΝ ΤΙ ΦΕΡΩΣΙΝ·
ΟΥ ΔΕ ΔΙΧΟΣΤΑΣΙΗ ΤΡΩΕΙ ΓΕΝΟΣ. Η ΤΕ ΚΑΙ ΕΥ ΠΕΡ ·· Τρώει legit interpres
ΟΙΚΟΥΣ ΕΣΤΗΩΤΑΣ ΕΣΙΝΑΤΟ. ΤΑΙ ΔΕ ΘΥΩΡΟΝ
ΕΙΝΑΤΕΡΕΣ ΓΑΛΟΩι ΤΕ ΜΙΑΝ ΠΕΡΙ ΔΙΦΡΑ ΤΙΘΕΝΤΑΙ· Τρώει ἢ φθεί
ΠΟΤΝΙΑ. ΤΩΝ ΕΙΗ ΜΕΝ ΕΜΟΙ ΦΙΛΟΣ ΟΣΤΙΣ ΑΛΗΘΗΣ·
ΕΙΗΝ Δ' ΑΥΤΟΣ ΑΝΑΣΣΑ· ΜΕΛΟΙ ΔΕ ΜΟΙ ΑΙΕΝ ΑΟΙΔΗ
ΤΗι ΕΝΙ ΜΕΝ ΛΗΤΟΥΣ ΓΑΜΟΣ ΕΣΣΕΤΑΙ· ΕΝ ΔΕ ΣΥ ΠΟΛΛΗ·
ΕΝ ΔΕ ΚΑΙ ΑΠΟΛΛΩΝ· ΕΝ Δ' ΟΙ ΣΕΟ ΠΑΝΤΕΣ ΑΕΘΛΟΙ·
ΕΝ ΔΕ ΚΥΝΕΣ. ΚΑΙ ΤΟΞΑ· ΚΑΙ ΑΝΤΥΓΕΣ. ΑΙ ΤΕ ΣΕ ΡΕΙΑ
ΘΗΗΤΗΝ ΦΟΡΕΟΥΣΙΝ ΟΤ' ΕΣ ΔΙΟΣ ΟΙΚΟΝ ΕΛΑΥΝΕΙΣ·
ΕΝΘΑ ΤΟΙ ΑΝΤΙΟΩΝΤΕΣ ΕΝΙ ΠΡΟΜΟΛΗι ΣΙ ΔΕΧΟΝΤΑΙ·
ΟΠΛΑ ΜΕΝ ΕΡΜΕΙΗΣ ΑΚΑΚΗΣΙΟΣ· ΑΥΤΑΡ ΑΠΟΛΛΩΝ

ΘΗΡΙΟΝ ΟΤΤΙ ΦΕΡΗΣΘΑ ΠΑΡΟΙΘΕ ΔΕ ΠΡΙΝ ΠΕΡ ΙΚΕΣΘΑΙ
ΚΑΡΤΕΡΟΝ ΑΛΚΕΙΔΗΝ. ΝΥΝ ΟΥΚΕΤΙ ΤΟΥΤΟΝ ΑΕΘΛΟΝ
ΦΟΙΒΟΣ ΕΧΕΙ· ΤΟΙΟΣ ΓΑΡ ΑΕΙ ΤΙΡΥΝΘΙΟΣ ΑΚΜΩΝ
ΕΣΤΗΚΕΝ ΠΡΟ ΠΥΛΕΩΝ ΠΟΤΙΔΕΓΜΕΝΟΣ, ΕΙ ΤΙ ΦΕΡΟΥΣΑ
ΝΕΙΑΙ ΠΙΟΝ ΕΔΕΣΜΑ· ΘΕΟΙ Δ' ΕΠΙ ΠΑΝΤΕΣ ΕΚΕΙΝΩΙ
ΑΛΛΗΚΤΟΝ ΓΕΛΟΩΣΙ. ΜΑΛΙΣΤΑ ΔΕ ΠΕΝΘΕΡΗ ΑΥΤΗ
ΤΑΥΡΟΝ ΟΤ' ΕΚ ΔΙΦΡΟΙΟ ΜΑΛΑ ΜΕΓΑΝ Η Ο ΓΕ ΧΛΟΥΝΗΝ
ΚΑΠΡΟΝ ΟΠΙΣΘΙΔΙΟΙΟ ΦΕΡΟΙ ΠΟΔΟΣ ΑΣΠΑΙΡΟΝΤΑ,
ΚΕΡΔΑΛΕΩΙ ΜΥΘΩΙ ΣΕ ΘΕΗ. ΜΑΛΑ ΤΩΙΔΕ ΠΙΝΥΣΚΕΙ.
ΒΑΛΛΕ. ΚΑΚΟΥΣ ΕΠΙ ΘΗΡΑΣ· ΙΝΑ ΘΝΗΤΟΙΣΙ ΒΟΗΘΟΝ
ΩΣ ΕΜΕ ΚΙΚΛΗΣΚΟΥΣΙΝ· ΕΑ ΠΡΟΚΑΣ, ΗΔΕ ΛΑΓΩΟΥΣ
ΟΥΡΕΑ ΒΟΣΚΕΣΘΑΙ· ΤΙ ΔΕ ΚΕΝ ΠΡΟΚΕΣ ΗΔΕ ΛΑΓΩΟΙ
ΡΕΞΕΙΑΝ· ΣΥΕΣ ΕΡΓΑ. ΣΥΕΣ ΦΥΤΑ ΛΥΜΑΙΝΟΝΤΑΙ.
ΚΑΙ ΒΟΕΣ ΑΝΘΡΩΠΟΙΣΙ ΚΑΚΟΝ ΜΕΓΑ· ΒΑΛΛ' ΕΠΙ ΚΑΙ ΤΟΥΣ·
ΩΣ ΕΝΕΠΕΝ· ΤΑΧΥΝΟΣ ΔΕ ΜΕΓΑΝ ΠΕΡΙ ΘΗΡΑ ΠΟΝΕΙΤΟ·
ΟΥ ΓΑΡ Ο ΓΕ ΦΡΥΓΙΗΙ ΠΕΡ ΥΠΟ ΔΡΥΙ ΓΥΙΑ ΘΕΩΘΕΙΣ
ΠΑΥΣΑΤ' ΑΔΗΦΑΓΙΗΣ· ΕΤΙ ΟΙ ΠΑΡΑ ΝΗΔΥΣ ΕΚΕΙΝΗ.
ΤΗΙ ΠΟΤ' ΑΡΟΤΡΙΑΟΝΤΙ ΣΥΝΗΝΤΕΤΟ ΘΕΙΟΔΑΜΑΝΤΙ·
ΣΟΙ Δ' ΑΜΝΙΣΙΑΔΕΣ ΜΕΝ ΥΠΟ ΖΕΥΓΛΗΦΙ ΛΥΘΕΙΣΑΣ
ΨΗΧΟΥΣΙΝ ΚΕΜΑΔΑΣ· ΠΑΡΑ ΔΕ ΣΦΙΣΙ ΠΟΥΛΥ ΝΕΜΕΣΘΑΙ
ΗΡΗΣ ΕΚ ΛΕΙΜΩΝΟΣ ΑΜΗΣΑΜΕΝΑΙ ΦΟΡΕΟΥΣΙΝ
ΩΚΥΘΟΟΝ ΤΡΙΠΕΤΗΛΟΝ, Ο ΚΑΙ ΔΙΟΣ ΙΠΠΟΙ ΕΔΟΥΣΙΝ·
ΕΝ ΚΑΙ ΧΡΥΣΕΙΑΣ ΥΠΟ ΛΗΝΙΔΑΣ ΕΠΛΗΣΑΝΤΟ
ΥΔΑΤΟΣ· ΟΦΡ' ΕΛΑΦΟΙΣΙ ΠΟΤΟΝ ΘΥΜΑΡΜΕΝΟΝ ΕΙΗ·

In diana

ΑΥΤΗ ΔΕΣ ΠΑΤΡΟΣ ΔΟΜΟΝ ΕΡΧΕΑΙ· ΟΙ ΔΕ ΣΕΦΕΔΡΗΝ
ΠΑΝΤΕΣ ΟΜΩΣ ΚΑΛΕΟΥΣΙ· ΣΥ ΔΑΠΟΛΛΩΝΙ ΠΑΡΙΖΕΙΣ·
ΗΝΙΚΑ ΔΑΙ ΝΥΜΦΑΙ ΣΕ ΧΟΡΩΙ ΕΝΙ ΚΥΚΛΩΣΟΝΤΑΙ
ΑΓΧΟΘΙ ΠΗΓΑΩΝ ΑΙΓΥΠΤΙΟΥ ΙΝΩΠΟΙΟ·
Η ΠΙΤΑΝΗΣ· ΚΑΙ ΓΑΡ ΠΙΤΑΝΗ ΣΕΘΕΝ Η ΕΝΙ ΛΙΜΝΑΙΣ·
Η ΙΝΑ ΔΑΙΜΟΝ ΑΛΑΣ ΑΡΑΦΗΝΙΔΑΣ ΟΙΚΗΣΟΥΣΑ
ΗΛΘΕΣ ΑΠΟ ΣΚΥΘΙΗΣ· ΑΠΟ ΔΕΙΠΑΟ ΤΕΘΜΙΑ ΤΑΥΡΩΝ·
ΜΗ ΝΕΙΟΝ ΤΗΜΟΥΤΟΣ ΕΜΑΙ ΒΟΕΣ ΕΙΝΕΚΑ ΜΙΣΘΟΥ
ΤΕΤΡΑΓΥΟΝ ΤΕΜΝΟΙΕΝ ΥΠΑΛΛΟΤΡΙΩΙ ΑΡΟΤΗΡΙ·
Η ΓΑΡ ΚΕΝ ΓΥΙΑΙ ΤΕ ΚΑΙ ΑΥΧΕΝΑ ΚΕΚΜΗΥΙΑΙ
ΚΟΠΡΟΝ ΕΠΙ ΠΡΟΓΕΝΟΙΝΤΟ, ΚΑΙ ΕΙ ΣΤΥΜΦΑΙΙΔΕΣ ΕΙΕΝ
ΕΙΝΑΕΤΙΖΟΜΕΝΑΙ ΚΕΡΕΑΛΚΕΕΣ. ΑΙ ΜΕΓΑΡΙΣΤΑΙ
ΤΕΜΝΕΙΝ ΩΛΚΑ ΒΑΘΕΙΑΝ. ΕΠΕΙ ΘΕΟΣ ΟΥ ΠΟΤΕΚΕΙΝΟΝ
ΗΛΘΕ ΠΑΡΗΕΛΙΟΣ ΚΑΛΟΝ ΧΟΡΟΝ· ΑΛΛΑ ΘΕΗΤΑΙ
ΔΙΦΡΟΝ ΕΠΙΣΤΗΣΑΣ· ΤΑ ΔΕ ΦΑΕΑ ΜΗΚΥΝΟΝΤΑΙ·
ΤΙΣ ΔΕ ΝΥ ΤΟΙ ΝΗΣΩΝ· ΠΟΙΟΝ ΔΟΡΟΣ ΕΥΑΔΕ ΠΛΕΙΣΤΟΝ.
ΤΙΣ ΔΕ ΛΙΜΗΝ· ΠΟΙΗ ΔΕ ΠΟΛΙΣ· ΤΙΝΑ ΔΕΞΟΧΑ ΝΥΜΦΕΩΝ
ΦΙΛΑΟ· ΚΑΙ ΠΟΙΑΣ ΗΡΩΙΔΑΣ ΕΣΧΕΣ ΕΤΑΙΡΑΣ.
ΕΙΠΕ ΘΕΑ· ΣΥ ΜΕΝ ΑΜΜΙΝ. ΕΓΩ ΔΕΤΕΡΟΙΣΙΝ ΑΕΙΣΩ·
ΝΗΣΩΝ ΜΕΝ ΔΟΛΙΧΗΝ· ΠΟΛΙΩΝ ΔΕ ΤΟΙ ΕΥΑΔΕ ΠΕΡΓΗ·
ΤΗΥΓΕΤΟΝ ΔΟΡΕΩΝ· ΛΙΜΕΝΕΣ ΓΕ ΜΕΝ ΕΥΡΙΠΟΙΟ·
ΕΞΟΧΑ ΔΑΛΛΑΩΝ ΓΟΡΤΥΝΙΔΑ ΦΙΛΑΟ ΝΥΜΦΗΝ·
ΕΛΛΟΦΟΝΟΝ. ΒΡΙΤΟΜΑΡΤΙΝ. ΕΥΣΚΟΠΟΝ. ΗΣ ΠΟΤΕ ΜΙΝΩΣ
ΠΤΟΙΗΘΕΙΣ ΥΠΕΡΩΤΙ ΚΑΤΕΔΡΑΜΕΝ ΟΥΡΕΑ ΚΡΗΤΗΣ·

Inopus egyptius
Pitane
Limne populus athenarum
Alæ araphenides popu. ath.
τημοῦτος
ἐμαί
Stymphe regio uncula epiri
Doliche insula
Perga
Taygetus
Britomartis
~~Gort~~
Britomartis



Minos captus amore britomartis

ἨΔΌΤΕ ΜῈΝ ΛΑΣΊῌΣΙΝ ὙΠῸ ΔΡΥΣῚ ΚΡΎΠΤΕΤΟ ΝΎΜΦΗ,
ἌΛΛΟΤΕ ΔΕΙΑΜΕΝῆΣΙΝ· Ὁ ΔῈ ἘΝΝΈΑ ΜῆΝΑΣ ἘΦΟΊΤΑ·
παιπαλα
ΠΑΊΠΑΛΆ ΤΕ ΚΡΗΜΝΟΎΣ ΤΕ· ΚΑῚ ΟὐΚ ἈΝΈΠΑΥΣΕ ΔΙΩΚΤΎΝ,
ΜΈΣΦ' ὍΤΕ ΜΑΡΠΤΟΜΈΝΗ· ΚΑῚ ΔῊ ΣΧΕΔῸΝ ἭΛΑΤΟ ΠΌΝΤΟΝ·
ΠΡΗΌΝΟΣ ἘΞ ὙΠΆΤΟΙΟ· ΚΑῚ ἜΝΘΟΡΕΝ ΕἸΣ ἉΛΙΉΩΝ
ΔΊΚΤΥΑ· ΤΆ ΣΦ' ἘΣΆΩΣΕΝ· ὍΘΕΝ ΜΕΤΈΠΕΙΤΑ ΚΎΔΩΝΕΣ
ΝΎΜΦΑΝ ΜῈΝ ΔΊΚΤΥΝΑΝ· ὌΡΟΣ Δ' ὍΘΕΝ ἭΛΑΤΟ ΝΎΜΦΗ
Dictyna
ΔΙΚΤΑῖΟΝ ΚΑΛΈΟΥΣΙΝ· ἈΝΕΣΤΉΣΑΝΤΟ ΔῈ ΒΩΜΟΎΣ·
Dicteus mōs
ἹΕΡΆ ΤΕ ῬΈΖΟΥΣΙ· ΤῸ ΔῈ ΣΤΈΦΟΣ ἭΜΑΤΙ ΚΕΊΝῼ
Ἢ ΠΊΤΥΣ, Ἢ ΣΧῖΝΟΣ· ΜΎΡΤΟΙΟ ΔῈ ΧΕῖΡΕΣ ἌΘΙΚΤΟΙ·
ΔῊ ΤΌΤΕ ΓᾺΡ ΠΈΠΛΟΙΣΙΝ ἘΝΈΣΧΕΤΟ ΜΎΡΣΙΝΟΣ ὌΖΟΣ
ΤῆΣ ΚΟΎΡΗΣ ὍΤ' ἜΦΕΥΓΕΝ· ὍΘΕΝ ΜΈΓΑ ΧΏΣΑΤΟ ΜΎΡΤῼ·
ΟὖΠΙ· ἌΝΑΣΣ' ΕὐῶΠΙ ΦΑΕΣΦΌΡΕ· ΚΑῚ ΔΈ ΣΕ ΚΕΊΝΗΣ
Vpis diana
ΚΡΗΤΑΈΕΣ ΚΑΛΈΟΥΣΙΝ ἘΠΩΝΥΜΊΗΝ ἈΠῸ ΝΎΜΦΗΣ·
Cyrene nypha
ΚΑῚ ΜῊΝ ΚΥΡΉΝΗΝ ἙΤΑΡΊΣΣΑΟ· Τῇ ΠΟΤ' ἜΔΩΚΑΣ
ΑὐΤῊ ΘΗΡΗΤῆΡΕ ΔΎΩ ΚΎΝΕ· ΤΟῖΣ ἜΝΙ ΚΟΎΡΗ
ὙΨΗῚΣ ΠΑΡᾺ ΤΎΜΒΟΝ ἸΩΛΚΙΟΝ ἜΜΜΟΡ' ἈΕΘΛΟΥ·
Cephali procne
ΚΑῚ ΚΕΦΆΛΟΥ ΞΑΝΘῊΝ ἌΛΟΧΟΝ ΔΗΙΟΝΊΔΑΟ
ΠΌΤΝΙΑ ΣῊΝ ὉΜΌΘΗΡΟΝ ἘΘΉΚΑΟ· ΚΑῚ ΔΈ ΣΕ ΦΑΣῚ
Deionides ceph
ΚΑΛῊΝ ἈΝΤΊΚΛΕΙΑΝ ἾΣΟΝ ΦΑΈΕΣΣΙ ΦΙΛῆΣΑΙ·
Anticlia
ΑἹ ΠΡῶΤΑ ΘΟᾺ ΤΌΞΑ ΚΑῚ ἈΜΦ' ὬΜΟΙΣΙ ΦΑΡΈΤΡΑΣ
ἸΟΔΌΚΟΥΣ ἘΦΌΡΗΣΑΝ· ἈΣΎΛΩΤΟΙ ΔΈ ΦΙΝ ὮΜΟΙ
ΔΕΞΙΤΕΡΟῚ· ΚΑῚ ΓΥΜΝῸΣ ἈΕῚ ΠΑΡΕΦΑΊΝΕΤΟ ΜΑΖῸΣ·
Atalanta Iasij f.
ᾘΝΗΣΑΣ Δ' ἜΤΙ ΠΆΓΧΥ ΠΟΔΟΡΡΏΡΗΝ ἈΤΑΛΆΝΤΗΝ·

ΚΟΥΡΗΝ ΙΑΣΙΟΙΟ ΣΥΟΚΤΟΝΟΝ ἈΡΚΑΣΙΔΑΟ·
ΚΑΙ Ἑ ΚΥΝΗΛΑΣΙΗΝ ΤῈ ΚΑῚ ΕΥΣΤΟΧΙΗΝ ἘΔΙΔΑΞΑΣ·
ΟΥ ΜΙΝ ἘΠΙΚΛΗΤΟΙ ΚΑΛΥΔΩΝΙΟΥ ἈΓΡΕΥΤῆΡΕΣ
ΜΕΜΦΟΝΤΑΙ ΚΑΠΡΟΙΟ· ΤᾺ ΓᾺΡ ΣΗΜΗΪΑ ΝΙΚΗΣ
ἈΡΚΑΔΙΗΝ ΕἸΣῆΛΘΕΝ· ἜΧΕΙ Δ᾽ ἜΤΙ ΘΗΡῸΣ ὈΔΟΝΤΑΣ·
ΟΥ ΔῈ ΜῈΝ ὙΛΑῖΟΝ ΤΕ ΚΑῚ ἌΦΡΟΝΑ ῬΟῖΚΟΝ ἜΟΛΠΑ
ΟΥ ΔῈ ΠΕΡ ἘΧΘΑΙΡΟΝΤΑΣ ἘΝ ἊΙΔΙ ΜΩΜΗΣΑΣΘΑΙ
ΤΟΞΟΤΙΝ· ΟΥ ΓᾺΡ ΣΦΙΝ ΛΑΓΟΝΕΣ ΣΥΝΕΠΙΨΕΥΣΟΝΤΑΙ·
ΤΑΩΝ ΜΑΙΝΑΛΙΗ ΝᾶΕΝ ΦΟΝῼ ἈΚΡΩΡΕΙΑ·
ΠΟΤΝΙΑ. ΠΟΥΛΥΜΕΛΑΘΡΕ· ΠΟΛΥΠΤΟΛΙ ΧΑῖΡΕ ΧΙΤΩΝΗ·
ΜΙΛΗΤῼ ἘΠΙΔΗΜΕ· ΣῈ ΓᾺΡ ΠΟΙΗΣΑΤΟ ΝΗΛΕΥΣ
ἩΓΕΜΟΝΗΝ· ὍΤΕ ΝΗΥΣῚΝ ἈΝΗΓΕΤΟ ΚΕΚΡΟΠΙΗΘΕΝ·
ΧΗΣΙΑΣ. ἸΜΒΡΑΣΙΗ· ΠΡΩΤΟΘΡΟΝΕ· ΣΟῚ Δ᾽ ἈΓΑΜΕΜΝΩΝ
ΠΗΔΑΛΙΟΝ ΝΗῸΣ ΣΦΕΤΕΡΗΣ ἘΓΚΑΤΘΕΤΟ ΝΗῷ·
ΜΕΙΛΙΟΝ· ἈΠΛΟΪΗΣ, ὍΤΕ ΟἹ ΚΑΤΕΔΗΣΑΣ ἈΗΤΑΣ.
ΤΕΥΚΡΩΝ ἩΝΙΚΑ ΝῆΕΣ ἈΧΑΙΪΔΕΣ ἌΣΤΕΑ ΚΗΔΕΙΝ
ἜΠΛΕΟΝ ἈΜΦ᾽ ἙΛΕΝῌ ῬΑΜΝΟΥΣΙΔΙ ΘΥΜΩΘΕῖΣΑΙ·
Ἡ ΜΕΝΤΟΙ ΠΡΟῖΤΟΣ ΓΕ ΔΥΩ ἘΚΑΘΙΣΣΑΤΟ ΝΗΟΥΣ·
ἌΛΛΟΝ ΜῈΝ ΚΟΡΙΗΣ ὍΤΙ ΟἹ ΣΥΝΕΛΕΞΑΟ ΚΟΥΡΑΣ
ΟΥΡΕΑ ΠΛΑΖΟΜΕΝΑΣ ἈΞΕΙΝΙΑ· ΤῸΝ Δ᾽ ἘΝῚ ΛΟΥΣΟΙΣ
ἩΜΕΡῌ· ΟὝΝΕΚΑ ΘΥΜῸΝ ἈΠ᾽ ἌΓΡΙΟΝ ΕἽΛΕΟ ΠΑΙΔΩΝ·
ΣΟῚ ΚΑῚ ἈΜΑΖΟΝΙΔΕΣ ΠΟΛΕΜΟΥ ἘΠΙΘΥΜΗΤΕΙΡΑΙ
ἘΝ ΚΟΤΕ ΠΑΡΡΑΛΙῌ ἘΦΕΣΟΥ ΒΡΕΤΑΣ ἹΔΡΥΣΑΝΤΟ.
ΦΗΓῼ ὙΠῸ ΠΡΕΜΝῼ. ΤΕΛΕΣΕΝ ΔΈ ΤΟΙ ἹΕΡῸΝ ἹΠΠΩ·

Aper calydonius ab atalanta iasij occisus.
Hyleus
Roecus
Xéta
Neleus
Chesias diana
Imbrasia
Agamemnō nauis gubernaculum dicauit in tēplo diane
μείλιον
κήδειν
ἰσάω
Proetus
Coria diana
Lussa
Hippo

ΑΥΤΑΙ ΔΟΥΠΙ ΑΝΑΣΣΑ ΠΕΡΙ ΠΡΥΛΙΝ ΩΡΧΗΣΑΝΤΟ·
ΠΡΩΤΑ ΜΕΝ ΕΝ ΣΑΚΕΕΣΣΙΝ ΕΝΟΠΛΙΟΝ. ΑΥΘΙ ΔΕ ΚΥΚΛΩ
ΣΤΗΣΑΜΕΝΑΙ ΧΟΡΟΝ ΕΥΡΥΝ. ΥΠΗΕΙΣΑΝ ΔΕ ΛΙΓΕΙΑΙ
ΛΕΠΤΑΛΕΟΝ ΣΥΡΙΓΓΕΣ. ΙΝΑ ΠΛΗΣΣΩΣΙΝ ΟΜΑΡΤΗ·
ΟΥ ΓΑΡ ΠΩ ΝΕΒΡΕΙΑ ΔΙ'ΟΣΤΕΑ ΤΕΤΡΗΝΟΝΤΟ.
ΕΡΓΟΝ ΑΘΗΝΑΙΗΣ ΕΛΑΦΩΙ ΚΑΚΟΝ· ΕΔΡΑΜΕ ΔΗΧΩ
ΣΑΡΔΙΑΣ ΕΣ ΤΕ ΝΟΜΟΝ ΒΕΡΕΚΥΝΘΙΟΝ. ΑΙ ΔΕ ΠΟΔΕΣΣΙΝ
ΟΥΛΑ ΚΑΤΕΚΡΟΤΑΛΙΖΟΝ. ΕΠΕΨΟΦΕΟΝ ΔΕ ΦΑΡΕΤΡΑΙ·
ΚΕΙΝΟ ΔΕ ΤΟΙ ΜΕΤΕΠΕΙΤΑ ΠΕΡΙ ΒΡΕΤΑΣ ΕΥΡΥΘΕΜΕΘΛΟΝ
ΔΩΜΗΘΗ· ΤΟΥΔΟΥΤΙ ΘΕΩΤΕΡΟΝ ΟΨΕΤΑΙ ΗΩΣ·
ΟΥ ΔΑΦΝΕΙΟΤΕΡΟΝ. ΡΕΑ ΚΕΝ ΠΥΘΩΝΑ ΠΑΡΕΛΘΟΙ·
ΤΩΙ ΡΑ ΚΑΙ ΗΛΑΙΝΩΝ ΑΛΑΠΑΞΕΜΕΝ ΗΠΕΙΛΗΣΕ·
ΛΥΓΔΑΜΙΣ ΥΒΡΙΣΤΗΣ. ΕΠΙ ΔΕ ΣΤΡΑΤΟΝ ΙΠΠΗΜΟΛΓΩΝ
ΗΓΑΓΕ ΚΙΜΜΕΡΙΩΝ ΨΑΜΑΘΩΙ ΙΣΟΝ. ΟΙ ΡΑ ΠΑΡΑΥΤΟΝ
ΚΕΚΛΙΜΕΝΟΙ ΝΑΙΟΥΣΙ ΒΟΟΣ ΠΟΡΟΝ ΙΝΑΧΙΩΝΗΣ·
Α· ΔΕΙΛΟΣ ΒΑΣΙΛΕΩΝ. ΟΣΟΝ ΗΛΙΤΕΝ. ΟΥ ΓΑΡ ΕΜΕΛΛΕΝ
ΟΥΤΑΥΤΟΣ ΣΚΥΘΙΗΝΔΕ ΠΑΛΙΜΠΕΤΕΣ, ΟΥΤΕ ΤΙΣ ΑΛΛΟΣ
ΟΣΣΩΝ ΕΝ ΛΕΙΜΩΝΙ ΚΑΫΣΤΡΙΩΙ ΕΣΤΑΝ ΑΜΑΞΑΙ
ΝΟΣΤΗΣΕΙΝ· ΕΦΕΣΟΥ ΓΑΡ ΑΕΙ ΤΕΑ ΤΟΞΑ ΠΡΟΚΕΙΤΑΙ·
ΠΟΤΝΙΑ ΜΟΥΝΥΧΙΗ. ΛΙΜΕΝΟΣΚΟΠΕ ΧΑΙΡΕ ΦΕΡΑΙΗ·
ΜΗ ΤΙΣ ΑΤΙΜΗΣΗΙ ΤΗΝ ΑΡΤΕΜΙΝ· ΟΥ ΔΕ ΓΑΡ ΟΙΝΕΙ
ΒΩΜΟΝ ΑΤΙΜΑΣΑΝΤΙ, ΚΑΛΟΙ ΠΤΟΛΙΝ ΗΛΘΟΝ ΑΓΩΝΕΣ·
ΜΗ ΔΕΛΑΦΗΒΟΛΙΗΝ. ΜΗ ΔΕΥΣΤΟΧΙΗΝ ΕΡΙΔΑΙΝΕΙΝ·
ΟΥ ΔΕ ΓΑΡ ΑΤΡΕΙΔΗΣ ΟΛΙΓΩΙ ΕΠΕΚΟΜΠΑΣΕ ΜΙΣΘΩΙ·

πρύλιν
ἠλαίνων
ἀλαπαξέμ
Lygdamis contra templu diane ephes
Cimmery equarum mulsores
Pratu caystriu
Munichia diana
Portuu speculatrix diana
Pherea diana
Oeneus
Agamemno aduersus diana

ΜΗ ΔΕ ΤΙΝΑ ΜΝΑΣΘΑΙ ΤΗΝ ΠΑΡΘΕΝΟΝ· ΟΥ ΔΕ ΓΑΡ ΩΤΟΣ
ΟΥ ΔΕ ΜΕΝ ΩΑΡΙΩΝ ΑΓΑΘΟΝ ΓΑΜΟΝ ΕΜΝΗΣΤΕΥΣΑΝ·
ΜΗ ΔΕ ΧΟΡΟΝ ΦΕΥΓΕΙΝ ΕΝΙΑΥΣΙΟΝ· ΟΥ ΔΕ ΓΑΡ ΙΠΠΩ
ΑΚΛΑΥΤΕΙ ΠΕΡΙ ΒΩΜΟΝ ΑΠΕΙΠΑΤΟ ΚΥΚΛΩΣΑΣΘΑΙ·
ΧΑΙΡΕ ΜΕΓΑ ΚΡΕΙΟΥΣΑ, ΚΑΙ ΕΥΑΝΤΗΣΟΝ ΑΟΙΔΗΙ·

## ΕΙΣ ΔΗΛΟΝ.

ΤΗΝ ΙΕΡΗΝ Ω ΘΥΜΕ· ΤΙΝΑ ΧΡΟΝΟΝ. Η ΠΟΤ' ΑΕΙΣΕΙΣ
ΔΗΛΟΝ. ΑΠΟΛΛΩΝΟΣ ΚΟΥΡΟΤΡΟΦΟΝ· Η ΜΕΝ ΑΠΑΣΑΙ
ΚΥΚΛΑΔΕΣ. ΑΙ ΝΗΣΩΝ ΙΕΡΩΤΑΤΑΙ ΕΙΝ ΑΛΙ ΚΕΙΝΤΑΙ,
ΕΥΥΜΝΟΙ. ΔΗΛΟΣ Δ' ΕΘΕΛΕΙ ΤΑ ΠΡΩΤΑ ΦΕΡΕΣΘΑΙ
ΕΚ ΜΟΥΣΕΩΝ· ΟΤΙ ΦΟΙΒΟΝ ΑΟΙΔΑΩΝ ΜΕΔΕΟΝΤΑ
ΛΟΥΣΕ ΤΕ ΚΑΙ ΣΠΕΙΡΩΣΕ· ΚΑΙ ΩΣ ΘΕΟΝ ΗΙΝΕΣΕ ΠΡΩΤΗ·
ΩΣ ΜΟΥΣΑΙ ΤΟΝ ΑΟΙΔΟΝ, Ο ΜΗ ΠΙΜΠΛΕΙΑΝ ΑΕΙΣΕΙ
ΕΧΘΟΥΣΙΝ, ΤΩΣ ΦΟΙΒΟΣ ΟΤΙΣ ΔΗΛΟΙΟ ΛΑΘΗΤΑΙ·
ΔΗΛΩΙ ΝΥΝ ΟΙΜΗΣ ΑΠΟΔΑΣΣΟΜΑΙ· ΩΣ ΑΝ ΑΠΟΛΛΩΝ
ΚΥΝΘΙΟΣ ΑΙΝΗΣΗΙ ΜΕ ΦΙΛΗΣ ΑΛΕΓΟΝΤΑ ΤΙΘΗΝΗΣ·
ΚΕΙΝΗ Δ' ΗΝΕΜΟΕΣΣΑ ΚΑΙ ΑΤΡΟΠΟΣ ΟΙΑ Θ' ΑΛΙΠΛΗΞ·
ΑΙΘΥΙΗΙΣ ΚΑΙ ΜΑΛΛΟΝ ΕΠΙΔΡΟΜΟΣ ΗΠΕΡ ΙΠΠΟΙΣ,
ΠΟΝΤΩΙ ΕΝΕΣΤΗΡΙΚΤΑΙ· Ο Δ' ΑΜΦΙ Ε ΠΟΥΛΥΣ ΕΛΙΣΣΩΝ,
ΙΚΑΡΙΟΥ ΠΟΛΛΗΝ ΑΠΟΜΑΣΣΕΤΑΙ ΥΔΑΤΟΣ ΑΧΝΗΝ·
ΤΩΙ ΣΦΕ ΚΑΙ ΙΧΘΥΒΟΛΗΕΣ ΑΛΙΠΛΟΟΙ ΕΝΝΑΣΑΝΤΟ·
ΑΛΛΑ ΟΙ ΟΥ ΝΕΜΕΣΗΤΟΝ ΕΝΙ ΠΡΩΤΗΙΣΙ ΛΕΓΕΣΘΑΙ,
ΟΠΠΟΤ' ΕΣ ΩΚΕΑΝΟΝ ΤΕ ΚΑΙ ΕΣ ΤΙΤΗΝΙΔΑ ΤΗΘΥΝ
ΝΗΣΟΙ ΑΟΛΛΙΖΟΝΤΑΙ· ΑΕΙ Δ' ΕΞΑΡΧΟΣ ΟΔΕΥΕΙ·

*Cyrnus* ἩΔ᾽ ΟΠΙΘΕΝ ΦΟΙΝΙΣΣΑ ΜΕΤ᾽ ἼΧΝΙΑ ΚΥΡΝΟΣ ὈΠΗΔΕῖ·
*Macris abanti as* ΟΥΚ ὈΝΟΤΉ· ΚΑῚ ΜΆΚΡΙΣ ἈΒΑΝΤΙᾺΣ ἘΛΛΟΠΙΉΩΝ·
*ὀνοτή* ΣΑΡΔῺ Θ᾽ ἹΜΕΡΌΕΣΣΑ. ΚΑῚ ἫΝ ἘΠΕΝΉΞΑΤΟ ΚΎΠΡΙΣ·
ἘΞ ὝΔΑΤΟΣ ΤᾺ ΠΡΩ͂ΤΑ· ΣΑΟῖ ΔΈ ΜΙΝ ἈΝΤ᾽ ἘΠΙΒΆΘΡΩΝ·
*Sardinia* ΚΕῖΝΑΙ ΜῈΝ ΠΎΡΓΟΙΣΙ ΠΕΡΙΣΚΕΠΈΕΣΣΙΝ ἘΡΥΜΝΑΊ·
*Cythera* ΔΗ͂ΛΟΣ Δ᾽ ἈΠΌΛΛΩΝΙ. ΤΊ ΔῈ ΣΤΙΒΑΡΏΤΕΡΟΝ ἝΡΚΟΣ·
ΤΕΊΧΕΑ ΜῈΝ ΚΑῚ ΛΑ͂ΕΣ ὙΠΑῚ ῬΙΠΗ͂Σ ΚΕ ΠΈΣΟΙΕΝ
ΣΤΡΥΜΟΝΊΟΥ ΒΟΡΈΑΟ· ΘΕῸΣ Δ᾽ ΑἸΕῚ ἈΣΤΥΦΈΛΙΚΤΟΣ·
ΔΗ͂ΛΕ ΦΊΛΗ· ΤΟῖΌΣ ΣΕ ΒΟΗΘΌΟΣ ἈΜΦΙΒΈΒΗΚΕΝ·
ΕἸ ΔῈ ΛΊΗΝ ΠΟΛΈΕΣ ΣΕ ΠΕΡΙΤΡΟΧΌΩΣΙΝ ἈΟΙΔΑΊ·
ΤΟΊῌ ἘΝΙΠΛΈΞΩ ΣΕ ΤΊ ΤΟΙ ΘΥΜΗ͂ΡΕΣ ἈΚΟῦΣΑΙ·
ὩΣ ΤᾺ ΠΡΏΤΙΣΤΑ ΜΈΓΑΣ ΘΕῸΣ ΟὔΡΕΑ ΘΕΊΝΩΝ
*Ensis tricuspis neptuni quē ei fabricauerunt telchines* ἈΟΡΙ ΤΡΙΓΛΏΧΙΝΙ, ΤῸ ΟἹ ΤΕΛΧΙ͂ΝΕΣ ἜΤΕΥΞΑΝ·
ΝΉΣΟΥΣ ΕἸΝΑΛΊΑΣ ΕἸΡΓΆΖΕΤΟ· ΝΈΡΘΕ ΔῈ ΠΆΣΑΣ
ἘΚ ΝΕΆΤΩΝ ὬΧΛΙΣΣΕ ΚΑῚ ΕἸΣΕΚΎΛΙΣΣΕ ΘΑΛΆΣΣῌ·
ΚΑῚ ΤᾺΣ ΜῈΝ ΚΑΤᾺ ΒΥΘῸΝ ἽΝ᾽ ἨΠΕΊΡΟΙΟ ΛΆΘΩΝΤΑΙ
ΠΡΥΜΝΌΘΕΝ ἘΡΡΊΖΩΣΕ· ΣῈ Δ᾽ ΟΥΚ ἜΘΛΙΨΕΝ ἈΝΆΓΚΗ·
*Telchines* ἈΛΛ᾽ ἌΦΕΤΟΣ ΠΕΛΆΓΕΣΣΙΝ ἘΠΈΠΛΕΕΣ· ΟὔΝΟΜΑ Δ᾽ ἮΝ ΣΟΙ
*Delus mobilis* ἈΣΤΕΡΊΗ ΤῸ ΠΑΛΑΙΌΝ. ἘΠΕῚ ΒΑΘῪΝ ἭΛΑΟ ΤΆΦΡΟΝ
ΟὐΡΑΝΌΘΕΝ ΦΕΎΓΟΥΣΑ ΔΙῸΣ ΓΆΜΟΝ ἈΣΤΈΡΙ ἼΣΗ·
*Asteria prius* ΤΌΦΡΑ ΜῈΝ ΟὔΠΩ ΣΟΙ ΧΡΥΣΈΗ ἘΠΕΜΊΣΓΕΤΟ ΛΗΤΏ,
*delos & unde* ΤΌΦΡΑ Δ᾽ ἜΤ᾽ ἈΣΤΕΡΊΗ ΣῪ ΚΑῚ ΟὐΔΈΠΩ ἜΚΛΕΟ ΔΗ͂ΛΟΣ·
ΠΟΛΛΆΚΙ ΣΕ ΤΡΟΙΖΗ͂ΝΟΣ ἈΠῸ ΞΆΝΘΟΙΟ ΠΟΛΊΧΝΗΣ
*Troezē* ἘΡΧΌΜΕΝΟΙ ἘΦΎΡΗΝΔΕ ΣΑΡΩΝΙΚΟΥ͂ ἜΝΔΟΘΙ ΚΌΛΠΟΥ·

*Ephyra*

*saronicus sinus*

In delū

ΝΑΥ͂ΤΑΙ ἘΠΕΣΚΈΨΑΝΤΟ. ΚΑῚ ἘΞ ἘΦΎΡΗΣ ἈΝΙΌΝΤΕΣ·
ΟἹ ΜῈΝ ἘΤ' ΟΥ̓Κ ἼΔΟΝ ΑΥ̓͂ΘΙ· ΣῪ Δ' ἘΣ ΣΤΕΙΝΟΙ͂Ο ΠΑΡ' ὈΞῪΝ — Euripus
ἜΔΡΑΜΕΣ ΕΥ̓ΡΊΠΟΙΟ ΠΌΡΟΝ ΚΑΝΑΧΗΔᾺ ῬΈΟΝΤΟΣ· — καναχηδὰ
ΧΑΛΚΙΔΙΚΗ͂Σ Δ' ΑΥ̓ΘΗ͂ΜΑΡ ἈΝΗΝΑΜΈΝΗ ἉΛῸΣ ὝΔΩΡ,
ΜΈΣΦ' ἘΣ ἈΘΗΝΑΊΩΝ ΠΡΟΣΕΝΉΞΑΟ ΣΟΎΝΙΟΝ ἌΚΡΟΝ· — Sunium promō.
Ἢ ΧΊΟΝ. Ἢ ΝΉΣΟΙΟ ΔΙΆΒΡΟΧΟΝ ὝΔΑΤΙ ΜΑΣΤῸΝ — Chius
ΠΑΡΘΕΝΊΗΣ· ΟὔΠΩ ΓᾺΡ ἜΗΝ ΣΆΜΟΣ· ἯΧΊ ΣΕ ΝΎΜΦΑΙ — Parthenia
ΓΕΊΤΟΝΕΣ ἈΓΓΑΊΟΥ ΜΥΚΑΛΗΣΊΔΕΣ ἘΞΕΊΝΙΣΣΑΝ· — Mycale
ἩΝΊΚΑ Δ' ἈΠΌΛΛΩΝΙ ΓΕΝΈΘΛΙΟΝ ΟΥ̓͂ΔΑΣ ὙΠΈΣΧΕΣ· — ἐξείνισσαν
ΤΟΥ͂ΤΌ ΤΟΙ ἈΝΤΙΜΟΙΒῸΝ ἉΛΊΠΛΟΟΙ ΟΥ̓͂ΝΟΜ' ἜΘΕΝΤΟ·
ΟὕΝΕΚΕΝ ΟΥ̓ΚΈΤ' ἌΔΗΛΟΣ ἘΠΈΠΛΕΕΣ. ἈΛΛ' ἘΝῚ ΠΌΝΤΟΥ
ΚΎΜΑΣΙΝ ΑἸΓΑΊΟΙΟ, ΠΟΔΩ͂Ν ἘΝΕΘΉΚΑΟ ῬΊΖΑΣ·
ΟΥ̓Δ' ἭΡΗΝ ΚΟΤΈΟΥΣΑΝ ὙΠΈΤΡΕΣΑΣ· ἯΜῈΝ ἈΠΆΣΑΙΣ
ΔΕΙΝῸΝ ἘΠΕΒΡΩΜΑ͂ΤΟ ΛΕΧΩΊΣΙΝ· ΑἻ ΔΙῚ ΠΑΙ͂ΔΑΣ — ἐπεβρωμᾶτ
ἘΞΈΦΕΡΟΝ. ΛΗΤΟΙ͂ ΔῈ ΔΙΑΚΡΙΔῸΝ· ΟὕΝΕΚΑ ΜΟΎΝΗ — διακριδόν
ΖΗΝῚ ΤΕΚΕΙ͂Ν ἬΜΕΛΛΕ ΦΙΛΑΊΤΕΡΟΝ ἌΡΕΟΣ ὙἹΑ·
ΤΩ͂Ι ῬΑ ΚΑῚ ΑΥ̓ΤῊ ΜῈΝ ΣΚΟΠΙῊΝ ἜΧΕΝ ΑἸΘΈΡΟΣ ΕἼΣΩ
ΣΠΕΡΧΟΜΈΝΗ ΜΈΓΑ ΔΉ ΤΙ ΚΑῚ ΟΥ̓ ΦΑΤῸΝ· ΕἾΡΓΕ ΔῈ ΛΗΤΩ͂
ΤΕΙΡΟΜΈΝΗΝ ὨΔΙ͂ΣΙ. ΔΎΩ ΔΈ ΟἹ ΕἼΑΤΟ ΦΡΟΥΡΟΊ — εἵατο
ΓΑΙ͂ΑΝ ὙΠΟΠΤΕΎΟΝΤΕΣ· Ὁ ΜῈΝ ΠΈΔΟΝ ἨΠΕΊΡΟΙΟ
ἭΜΕΝΟΣ ὙΨΗΛΗ͂Σ ΚΟΡΥΦΗ͂Σ ἘΠῚ ΘΡΗΙΚΟΣ ΑἼΜΟΥ· — Aemus
ΘΟΥ͂ΡΟΣ ἌΡΗΣ ἘΦΎΛΑΣΣΕ ΣῪΝ ἜΝΤΕΣΙ. ΤῺ ΔΈ ΟἹ ἽΠΠΩ
ἘΠΤΆΜΥΧΟΝ ΒΟΡΈΑΟ ΠΑΡᾺ ΣΠΈΟΣ ἨΥ̓ΛΊΖΟΝΤΟ· — Bores spelunca
Ἡ Δ' ἘΠῚ ΝΗΣΆΩΝ ἙΤΈΡΗ ΣΚΟΠῸΣ ΕΥ̓ΡΕΙΆΩΝ

Hymnus

Iris thaumatis

Mimas

ΗΣΤΟ ΚΟΡΗ ΘΑΥΜΑΝΤΟΣ ΕΠΑΙΞΑΣΑ ΜΙΜΑΝΤΙ·
ΕΝΘΟΙ ΜΕΝ ΠΟΛΙΕΣΣΙΝ ΟΣΑΙΣ ΕΠΕΒΑΛΛΕΤΟ ΛΗΤΩ,
ΜΙΜΝΟΝ ΑΠΕΙΛΗΤΗΡΕΣ· ΑΠΕΤΡΩΠΩΝ ΔΕ ΔΕΧΕΣΘΑΙ·
ΦΕΥΓΕ ΜΕΝ ΑΡΚΑΔΙΗ· ΦΕΥΓΕΝ ΔΟΡΟΣ ΙΕΡΟΝ ΑΥΓΗΣ
ΠΑΡΘΕΝΙΟΝ. ΦΕΥΓΕΝ ΔΟ ΓΕΡΩΝ ΜΕΤΟΠΙΣΘΕ ΦΕΝΑΙΟΣ·
ΦΕΥΓΕ ΔΟΛΗ ΠΕΛΟΠΗΙΣ ΟΣΗ ΠΑΡΑΚΕΚΛΙΤΑΙ ΙΣΘΜΩΙ·
ΕΜΠΛΗΝ ΑΙΓΙΑΛΟΥ ΤΕ ΚΑΙ ΑΡΓΕΟΣ· ΟΥ ΓΑΡ ΕΚΕΙΝΑΣ
ΑΤΡΑΠΙΤΟΥΣ ΕΠΑΤΗΣΕΝ. ΕΠΕΙ ΛΑΧΕΝ ΙΝΑΧΟΝ ΗΡΗ·
ΦΕΥΓΕ ΚΑΙ ΑΟΝΙΗ ΤΟΝ ΕΝΑ ΔΡΟΜΟΝ. ΑΙΔΕΦΕΠΟΝΤΟ
ΔΙΡΚΗ ΤΕ ΣΤΡΟΦΙΗ ΤΕ. ΜΕΛΑΜΨΗΦΙΔΟΣ ΕΧΟΥΣΑΙ
ΙΣΜΗΝΟΥ ΧΕΡΑ ΠΑΤΡΟΣ. ΟΔΕΙΠΕΤΟ ΠΟΛΛΟΝ ΟΠΙΣΘΕΝ
ΑΣΩΠΟΣ ΒΑΡΥΓΟΥΝΟΣ· ΕΠΕΙ ΠΕΠΑΛΑΚΤΟ ΚΕΡΑΥΝΩΙ·
ΗΔΥΠΟΔΙΝΗΘΕΙΣΑ ΧΟΡΟΥ ΑΠΕΠΑΥΣΑΤΟ ΝΥΜΦΗ.
ΑΥΤΟΧΘΩΝ ΜΕΛΙΗ. ΚΑΙ ΥΠΟΧΛΟΟΝ ΕΣΧΕ ΠΑΡΕΙΗΝ·
ΗΛΙΚΟΣ ΑΣΘΜΑΙΝΟΥΣΑ ΠΕΡΙ ΔΡΥΟΣ ΩΣ ΙΔΕ ΧΑΙΤΗΝ·
ΣΕΙΟΜΕΝΗΝ ΕΛΙΚΩΝΟΣ· ΕΜΑΙ ΘΕΑΙ ΕΙΠΑΤΕ ΜΟΥΣΑΙ·
ΗΡ ΕΤΕΟΝ ΕΓΕΝΟΝΤΟ ΤΟΤΕ ΔΡΥΕΣ ΗΝΙΚΑ ΝΥΜΦΑΙ·
ΝΥΜΦΑΙ ΜΕΝ ΧΑΙΡΟΥΣΙΝ ΟΤΕ ΔΡΥΑΣ ΟΜΒΡΟΣ ΑΕΞΕΙ·
ΝΥΜΦΑΙ ΔΑΥ ΚΛΑΙΟΥΣΙΝ, ΟΤΕ ΔΡΥΣΙΝ ΟΥΚΕΤΙ ΦΥΛΛΑ·
ΤΑΙΣ ΜΕΝ ΕΤΑΠΟΛΛΩΝ ΥΠΟΚΟΛΠΙΟΣ ΑΙΝΑ ΧΟΛΩΘΗ·
ΦΘΕΓΞΑΤΟ ΔΟΥΚΑΤΕΛΕΣΤΟΝ ΑΠΕΙΛΗΣΑΣ ΕΠΙ ΘΗΒΗΙ·
ΘΗΒΗ. ΤΙ ΠΤΕ ΤΑΛΑΙΝΑ ΤΟΝ ΑΥΤΙΚΑ ΠΟΤΜΟΝ ΕΛΕΓΧΕΙΣ·
ΜΗ ΠΩ ΜΗ ΜΑΕΚΟΝΤΑ ΒΙΑΖΕΟ ΜΑΝΤΕΥΕΣΘΑΙ·
ΟΥΠΩ ΜΟΙ ΠΥΘΩΝΙ ΜΕΛΕΙ ΤΡΙΠΟΔΗΙΟΣ ΕΔΡΗ·

Auge
Parthenius
Pheneus
Aonia
Dirce
Strophe
Assopus ful minatus

In delu

ΟΥ ΔΕ ΤΙ ΠΩ ΤΕΘΝΗΚΕΝ ΟΦΙΣ ΜΕΓΑΣ· ΑΛΛ' ΕΤΙ ΚΕΙΝΟ
ΘΗΡΙΟΝ ΑΙΝΟΓΕΝΕΙΟΝ ΑΠΟ ΠΛΕΙΣΤΟΙΟ ΚΑΘΕΡΠΟΝ. Plistus fl. phocidis
ΠΑΡΝΗΣΟΝ ΝΙΦΟΕΝΤΑ ΠΕΡΙΣΤΕΦΕΙ ΕΝΝΕΑ ΚΥΚΛΟΙΣ·
ΑΛΛ' ΕΜΠΗΣ ΕΡΕΩ ΤΙ ΤΟΜΩΤΕΡΟΝ Η ΑΠΟ ΔΑΦΝΗΣ·
ΦΕΥΓΕ ΠΡΟΣΩ. ΤΑΧΙΝΟΣ ΣΕ ΚΙΧΗΣΟΜΑΙ ΑΙΜΑΤΙ ΛΟΥΣΩΝ
ΤΟΞΟΝ ΕΜΟΝ· ΣΥ ΔΕ ΤΕΚΝΑ ΚΑΚΟΓΛΩΣΣΟΙΟ ΓΥΝΑΙΚΟΣ niobes
ΕΛΛΑΧΕΣ. ΟΥ ΣΥ Γ' ΕΜΕΙΟ ΦΙΛΗ ΤΡΟΦΟΣ· ΟΥ ΔΕ ΚΙΘΑΙΡΩΝ
ΕΣΣΕΤΑΙ· ΕΥΑΓΕΩΝ ΔΕ ΚΑΙ ΕΥΑΓΕΕΣΣΙ ΜΕΛΟΙΜΗΝ·
ΩΣ ΑΡ' ΕΦΗ· ΛΗΤΩ ΔΕ ΜΕΤΑΤΡΟΠΟΣ ΑΥΘΙΣ ΕΧΩΡΕΙ·
ΑΛΛ' ΟΤ' ΑΧΑΙΙΑΔΕΣ ΜΙΝ ΑΠΗΡΝΗΣΑΝΤΟ ΠΟΛΗΕΣ
ΕΡΧΟΜΕΝΗΝ. ΕΛΙΚΗ ΤΕ ΠΟΣΕΙΔΑΩΝΟΣ ΕΤΑΙΡΗ. Helice
ΒΟΥΡΑ ΤΕ ΔΕΞΑΜΕΝΟΙΟ ΒΟΟΣΤΑΣΙΣ ΟΙΚΙΑΔΑΟ, Bura
ΑΨ Δ' ΕΠΙ ΘΕΣΣΑΛΙΗΝ ΠΟΔΑΣ ΕΤΡΕΠΕ· ΦΕΥΓΕ ΔΑΝΑΥΡΟΣ· Dexamenus
ΚΑΙ ΜΕΓΑΛΗ ΛΑΡΙΣΣΑ. ΚΑΙ ΑΙ ΧΕΙΡΩΝΙΔΕΣ ΑΚΡΑΙ· centaurus
ΦΕΥΓΕ ΔΕ ΚΑΙ ΠΗΝΕΙΟΣ ΕΛΙΣΣΟΜΕΝΟΣ ΔΙΑ ΤΕΜΠΕΩΝ· Anaurus fl
ΗΡΗ. ΣΟΙ Δ' ΕΤΙ ΤΗΜΟΣ ΑΝΗΛΕΕΣ ΗΤΟΡ ΕΚΕΙΤΟ. Larissa
ΟΥ ΔΕ ΚΑΤΕΚΛΑΣΘΗΣ ΤΕ ΚΑΙ ΩΙΚΤΙΣΑΣ· ΗΝΙΚΑ ΠΗΧΕΙΣ Chironides
ΑΜΦΟΤΕΡΟΥΣ ΟΡΕΓΟΥΣΑ· ΜΑΤΗΝ ΕΦΘΕΓΞΑΤΟ ΤΟΙΑ· (f. latona) petre
ΝΥΜΦΑΙ ΘΕΣΣΑΛΙΔΕΣ ΠΟΤΑΜΟΥ ΓΕΝΟΣ. ΕΙΠΑΤΕ ΠΑΤΡΙ Peneus fl
ΚΟΙΜΗΣΑΙ ΜΕΓΑ ΧΕΥΜΑ. ΠΕΡΙΠΛΕΞΑΣΘΕ ΓΕΝΕΙΩΙ Tempe
ΑΙΣΣΟΜΕΝΑΙ ΤΑ ΖΗΝΟΣ ΕΝ ΥΔΑΤΙ ΤΕΚΝΑ ΤΕΚΕΣΘΑΙ· ὤκτισας
ΠΗΝΕΙΕ ΦΘΙΩΤΑ· ΤΙ ΝΥΝ ΑΝΕΜΟΙΣΙΝ ΕΡΙΖΕΙΣ.
Ω ΠΑΤΕΡ. ΟΥ ΜΗΝ ΙΠΠΟΝ ΑΕΘΛΙΟΝ ΑΜΦΙΒΕΒΗΚΑΣ. Amplexamini Ione & eius barba tangite
Η ΡΑ ΤΟΙ ΩΔ' ΑΙΕΙ ΤΑΧΙΝΟΙ ΠΟΔΕΣ· Η ΕΠ' ΕΜΕΙΟ

μοῦνοι ἐλαφρίζουσι. πεποίηται δὲ πέτεσθαι
σήμερον ἐξαπίνης. ὁ δ' ἀνήκοος. ὦ ἐμὸν ἄχθος.
ποῖ σε φέρω; μέλεοι γὰρ ἀπειρήκασι τένοντες.
Πήλιον ὦ φιλύρης νυμφήϊον. ἀλλὰ σὺ μεῖνον.
μεῖνον. ἐπεὶ καὶ θῆρες ἐν οὔρεσι πολλάκι σεῖο
ὠμοτόκους ὠδῖνας ἀπηρείσαντο λέαιναι.
Τὴν δ' ἄρα καὶ πηνειὸς ἀμείβετο δάκρυα λείβων.
Λητοῖ. ἀναγκαίη μεγάλη θεός. οὐ γὰρ ἔγωγε
πότνια σὰς ὠδῖνας ἀναίνομαι. οἶδα καὶ ἄλλας
λουσαμένας ἀπ' ἐμοῖο λεχωΐδας. ἀλλά μοι ἥρη
δαψιλὲς ἠπείλησεν. ἀπαύγασαι οἷος ἔφεδρος
οὔρεος ἐξ ὑπάτοιο σκοπιὴν ἔχει, ὅς κέ με ῥεῖα
βυσσόθεν ἐξερύσειε. τί μήσομαι; ἢ ἀπολέσθαι
ἡδύ τι τοι πηνειόν. ἴτω πεπρωμένον ἦμαρ.
τλήσομαι εἵνεκα σεῖο, καὶ εἰ μέλλοιμι ῥοάων
διψαλέην ἄμπωτιν ἔχων αἰώνιον ἔρρειν.
καὶ μόνος ἐν ποταμοῖσιν ἀτιμότατος καλέεσθαι.
ἠνὶ δ' ἐγώ. τί περισσά. κάλει μόνον εἰλήθειαν.
Εἶπε. καὶ ἠρώησε μέγαν ῥόον. ἀλλά οἱ ἄρης
παγγαίου προθέλυμνα καρήατα μέλλεν ἀείρας
ἐμβαλέειν δίνῃσιν ἀποκρύψαι δὲ ῥέεθρα.
ὑψόθε δ' ἐσμαράγησε. καὶ ἀσπίδα τύψεν ἀκωκῇ
δούρατος. ἡ δ' ἐλέλιξεν ἐνόπλιον. ἔτρεμε δ' ὄσσης
οὔρεα καὶ πεδίον κρανώνιον. αἵ τε δυσαεῖς

Pelion
Philyra
ἀναίνομαι
δαψιλές
ἄμπωτιν
Ossa mons
Cranonius campus

In Delum

ΕΣΧΑΤΙΑΙ ΠΙΝΔΟΙΟ· ΦΟΒΩΙ Δ' ΩΡΧΗΣΑΤΟ ΠΑΣΑ ἐσχατιαί
ΘΕΣΣΑΛΙΗ. ΤΟΙΟΣ ΓΑΡ ΑΠ' ΑΣΠΙΔΟΣ ΕΒΡΑΧΕΝ ΗΧΟΣ·
ΩΣ Δ' ΟΠΟΤ' ΑΙΤΝΑΙΟΥ ΟΡΕΟΣ ΠΥΡΙ ΤΥΦΟΜΕΝΟΙΟ Aetna
ΣΕΙΟΝΤΑΙ ΜΥΧΑ ΠΑΝΤΑ ΚΑΤΟΥΔΑΙΟΙΟ ΓΙΓΑΝΤΟΣ·
ΕΙΣ ΕΤΕΡΗΝ ΒΡΙΑΡΗΟΣ ΕΠΩΜΙΔΑ ΚΙΝΥΜΕΝΟΙΟ·
ΘΕΡΜΑΥΣΤΡΑΙ ΤΕ ΒΡΕΜΟΥΣΙΝ ΥΦ' ΗΦΑΙΣΤΟΙΟ ΠΥΡΑΓΡΗΣ·
ΕΡΓΑ Θ' ΟΜΟΥ· ΔΕΙΝΟΝ ΔΕ ΠΥΡΙΚΜΗΤΟΙ ΤΕ ΛΕΒΗΤΕΣ
ΚΑΙ ΤΡΙΠΟΔΕΣ ΠΙΠΤΟΝΤΕΣ ΕΠ' ΑΛΛΗΛΟΙΣ ΙΑΧΕΥΣΙ,
ΤΗΜΟΣ ΕΓΕΝΤ' ΑΡΑΒΟΣ ΣΑΚΕΟΣ ΤΟΣΟΣ ΕΥΚΥΚΛΟΙΟ·
ΠΗΝΕΙΟΣ Δ' ΟΥΚ ΑΥΤΙΣ ΕΧΑΖΕΤΟ· ΜΙΜΝΕ Δ' ΟΜΟΙΩΣ
ΚΑΡΤΕΡΟΣ ΩΣ ΤΑ ΠΡΩΤΑ. ΘΟΑΣ Δ' ΕΣΤΗΣΑΤΟ ΔΙΝΑΣ
ΕΙΣΟΚΕ ΟΙ ΚΟΙΗΙΣ ΕΚΕΚΛΕΤΟ· ΣΩΖΕΟ ΧΑΙΡΩΝ.
ΣΩΖΕΟ· ΜΗ ΣΥ ΓΕ ΜΕΙΟ ΠΑΘΗΙΣ ΚΑΚΟΝ ΕΙΝΕΚΑ ΤΗΣΔΕ
ΑΝΤ' ΕΛΕΗΜΟΣΥΝΗΣ· ΧΑΡΙΤΟΣ ΔΕ ΤΟΙ ΕΣΣΕΤ' ΑΜΟΙΒΗ·
Η. ΚΑΙ ΠΟΛΛΑ ΠΑΡΟΙΘΕΝ ΕΠΕΙ ΚΑΜΕΝ ΕΣΤΙΧΕ ΝΗΣΟΥΣ
ΕΙΝΑΛΙΑΣ· ΑΙ Δ' ΟΥ ΜΙΝ ΕΠΕΡΧΟΜΕΝΗΝ ΕΔΕΧΟΝΤΟ·
ΟΥ ΛΙΠΑΡΟΝ ΝΗΕΣΣΙΝ ΕΧΙΝΑΔΕΣ ΟΡΜΟΝ ΕΧΟΥΣΑΙ· Echinades insule
ΟΥ Δ' ΗΤΙΣ ΚΕΡΚΥΡΑ ΦΙΛΟΞΕΙΝΩΤΑΤΗ ΑΛΛΩΝ.
ΙΡΙΣ ΕΠΕΙ ΠΑΣΗΙΣΙΝ ΕΦ' ΥΨΗΛΟΙΟ ΜΙΜΑΝΤΟΣ Cercyra
ΣΠΕΡΧΟΜΕΝΗ ΜΑΛΑ ΠΟΛΛΟΝ ΑΠΕΤΡΑΠΕΝ ΑΙ Δ' ΥΦ' ΟΜΟΚΛΗΣ. Mimas
ΠΑΣΣΥΔΙΗΙ ΦΟΒΕΟΝΤΟ ΚΑΤΑ ΡΟΟΝ ΗΝ ΤΙΝΑ ΤΕΤΜΟΙ·
ΩΓΥΓΙΗΝ Δ' ΗΠΕΙΤΑ ΚΟΩΝ ΜΕΡΟΠΗΙΔΑ ΝΗΣΟΝ Cos meropis
ΙΚΕΤΟ ΧΑΛΚΙΟΠΗΣ ΙΕΡΟΝ ΜΥΧΟΝ ΗΡΩΙΝΗΣ· Chalciope
ΑΛΛΑ Ε ΠΑΙΔΟΣ ΕΡΥΚΕΝ ΕΠΟΣ ΤΟΔΕ· ΜΗ ΣΥ ΓΕ ΜΗΤΕΡ
s. apollinis

ΤΗΙ ΜΕ ΤΕΚΟΙΣ. ΟΥΤΟΥΝ ΕΠΙΜΕΜΦΟΜΑΙ ΟΥ ΔΕ ΜΕΓΑΙΡΩ
ΝΗΣΟΝ. ΕΠΕΙ ΛΙΠΑΡΗ ΤΕ ΚΑΙ ΕΥΒΟΤΟΣ ΕΙ ΝΥ ΤΙΣ ΑΛΛΗ·
ΑΛΛΑ ΟΙ ΕΚ ΜΟΙΡΕΩΝ ΤΙΣ ΟΦΕΙΛΟΜΕΝΟΣ ΘΕΟΣ ΑΛΛΟΣ
ΕΣΤΙ ΣΑΩΤΗΡΩΝ ΥΠΑΤΟΝ ΓΕΝΟΣ. ΩΙ ΥΠΟ ΜΙΤΡΗΝ
ΙΞΕΤΑΙ ΟΥΚ ΑΕΚΟΥΣΑ ΜΑΚΗΔΟΝΙ ΚΟΙΡΑΝΕΕΣΘΑΙ,
ΑΜΦΟΤΕΡΗ ΜΕΣΟΓΕΙΑ· ΚΑΙ ΑΙ ΠΕΛΑΓΕΣΣΙ ΚΑΘΗΝΤΑΙ·
ΜΕΧΡΙΣ ΟΠΟΥ ΠΕΡΑΤΗ ΤΕ ΚΑΙ ΟΠΠΟΘΕΝ ΩΚΕΕΣ ΙΠΠΟΙ
ΗΕΛΙΟΝ ΦΟΡΕΟΥΣΙΝ· Ο ΔΕΙΣΕΤΑΙ ΗΘΕΑ ΓΑΤΡΟΣ·
ΚΑΙ ΝΥ ΠΟΤΕ ΞΥΝΟΣ ΤΙΣ ΕΛΕΥΣΕΤΑΙ ΑΜΜΙΝ ΑΕΘΛΟΣ.
ΥΣΤΕΡΟΝ ΟΠΠΟΤΑΝ ΟΙ ΜΕΝ ΕΦΕΛΛΗΝΕΣΣΙ ΜΑΧΑΙΡΑΝ
ΒΑΡΒΑΡΙΚΗΝ. ΚΑΙ ΚΕΛΤΟΝ ΑΝΑΣΤΗΣΑΝΤΕΣ ΑΡΗΑ.
ΟΥΙΓΟΝΟΙ ΤΙΤΗΝΕΣ ΑΦΕΣΠΕΡΟΥ ΕΣΧΑΤΟΩΝΤΟΣ
ΡΩΣΟΝΤΑΙ ΝΙΦΑΔΕΣΣΙΝ ΕΟΙΚΟΤΕΣ. Η ΙΣΑΡΙΘΜΟΙ
ΤΕΙΡΕΣΙΝ. ΗΝΙΚΑ ΠΛΕΙΣΤΑ ΚΑΤΗΕΡΑ ΒΟΥΚΟΛΕΟΝΤΑΙ·
ΦΡΟΥΡΙΑ ΚΑΙ
ΚΑΙ ΠΕΔΙΑ ΚΡΙΣΣΑΙΑ· ΚΑΙ ΗΠΕΙΡΟΙ
ΑΜΦΙΠΕΡΙΣΤΕΙΝΟΝΤΑΙ. ΙΔΩΣΙ ΔΕ ΠΙΟΝΑ ΚΑΡΠΟΝ
ΓΕΙΤΟΝΟΣ ΑΙΘΟΜΕΝΟΙΟ. ΚΑΙ ΟΥΚΕΤΙ ΜΟΥΝΟΝ ΑΚΟΥΗΙ·
ΑΛΛ ΗΔΗ ΠΑΡΑ ΝΗΟΝ ΑΠΑΥΓΑΖΟΙΝΤΟ ΦΑΛΑΓΓΕΣ
ΔΥΣΜΕΝΕΩΝ. ΗΔΗ ΔΕ ΠΑΡΑ ΤΡΙΠΟΔΕΣΣΙΝ ΕΜΕΙΟ
ΦΑΣΓΑΝΑ ΚΑΙ ΖΩΣΤΗΡΑΣ ΑΝΑΙΔΕΑΣ ΕΧΘΟΜΕΝΑΣ ΤΕ
ΑΣΠΙΔΑΣ. ΑΙ ΓΑΛΑΤΗΙΣΙ ΚΑΚΗΝ ΟΔΟΝ ΑΦΡΟΝΙ ΦΥΛΩΙ
ΣΤΗΣΟΝΤΑΙ· ΤΕΩΝ ΑΙ ΜΕΝ ΕΜΟΙ ΓΕΡΑΣ. ΑΙ ΔΕΠΙ ΝΕΙΛΩΙ
ΕΝ ΠΥΡΙ ΤΟΥΣ ΦΟΡΕΟΝΤΑΣ ΑΠΟΠΝΕΥΣΑΝΤΑΣ ΙΔΟΥΣΑΙ,

Ptolomei phi ladelphi la[us]

De bello ga llorum contra apollinis templu[m]

Latonae palma

ΦΟΙΝΙΚΟΣ ΠΟΤΙ ΠΡΕΜΝΟΝ, ΑΜΗΧΑΝΙΗΣ ΥΠΟ ΛΥΓΡΗΣ
ΤΕΙΡΟΜΕΝΗ· ΝΟΤΙΟΣ ΔΕ ΔΙΑ ΧΡΟΟΣ ΕΡΡΕΕΝ ΙΔΡΩΣ·
ΕΙΠΕ Δ' ΑΛΥΣΘΜΑΙΝΟΥΣΑ· ΤΙ ΜΗΤΕΡΑ ΚΟΥΡΕ ΒΑΡΥΝΕΙΣ·
ΑΥΤΗ ΤΟΙ ΦΙΛΕ ΝΗΣΟΣ ΕΠΙΠΛΩΟΥΣΑ ΘΑΛΑΣΣΗΙ·
ΓΕΙΝΕΟ ΓΕΙΝΕΟ ΚΟΥΡΕ ΚΑΙ ΗΠΙΟΣ ΕΞΙΘΙ ΚΟΛΠΟΥ·
ΝΥΜΦΑ ΔΙΟΣ ΒΑΡΥΘΥΜΕ. ΣΥ Δ' ΟΥΚ ΑΡ' ΕΜΕΛΛΕΣ ΑΠΥΣΤΟΣ
ΔΗΝ ΕΜΜΕΝΑΙ. ΤΟΙΗ ΣΕ ΠΡΟΣΕΔΡΑΜΕΝ ΑΓΓΕΛΙΩΤΙΣ·
ΕΙΠΕ Δ' ΕΤ' ΑΣΘΜΑΙΝΟΥΣΑ· ΦΟΒΩΙ Δ' ΑΝΕΜΙΣΓΕΤΟ ΜΥΘΟΣ·
ΗΡΗ ΤΙΜΗΕΣΣΑ· ΠΟΛΥ ΠΡΟΥΧΟΥΣΑ ΘΕΑΩΝ·
ΣΗ ΜΕΝ ΕΓΩ. ΣΑ ΔΕ ΠΑΝΤΑ. ΣΥ ΔΕ ΚΡΕΙΟΥΣΑ ΚΑΘΗΣΑΙ.
ΓΝΗΣΙΗ ΟΥΛΥΜΠΟΙΟ. ΚΑΙ ΟΥ ΧΕΡΑ ΔΕΙΔΙΜΕΝ ΑΛΛΗΝ
ΘΗΛΥΤΕΡΗΝ· ΣΥ Δ' ΑΝΑΣΣΑ ΤΟΝ ΑΙΤΙΟΝ ΕΙΣΕΑΙ ΟΡΓΗΣ·
ΛΗΤΩ ΤΟΙ ΜΙΤΡΗΝ ΑΝΑΛΥΕΤΑΙ ΕΝΔΟΘΙ ΝΗΣΟΥ·
ΑΛΛΑΙ ΜΕΝ ΠΑΣΑΙ ΜΙΝ ΑΠΕΣΤΥΓΟΝ· ΟΥ Δ' ΕΔΕΧΟΝΤΟ·
ΑΣΤΕΡΙΗ Δ' ΟΝΟΜΑΣΤΙ ΠΑΡΕΡΧΟΜΕΝΗΝ ΕΚΑΛΕΣΣΕΝ·
ΑΣΤΕΡΙΗ ΠΟΝΤΟΙΟ ΚΑΚΟΝ ΣΑΡΟΝ· ΟΙΣΘΑ ΚΑΙ ΑΥΤΗ·
ΑΛΛΑ ΦΙΛΗ ΔΥΝΑΣΑΙ ΓΑΡ ΑΜΥΝΕΙΝ ΠΟΤΝΙΑ ΔΟΥΛΟΙΣ
ΥΜΕΤΕΡΟΙΣ· ΟΙ ΣΕΙΟ ΠΕΔΟΝ ΠΑΤΕΟΥΣΙΝ ΕΦΕΤΜΗΙ·
Η. ΚΑΙ ΥΠΟ ΧΡΥΣΕΙΟΝ ΕΔΕΘΛΙΟΝ ΙΖΕ ΚΥΩΝ ΩΣ
ΑΡΤΕΜΙΔΟΣ. ΗΤΙΣ ΤΕ ΘΟΗΣ ΟΤΕ ΠΑΥΣΕΤΑΙ ΑΓΡΗΣ
ΙΖΕΙ ΘΗΡΗΤΕΙΡΑ ΠΑΡ' ΙΧΝΕΣΙΝ. ΟΥΑΤΑ Δ' ΑΥΤΗΣ
ΟΡΘΑ ΜΑΛ' ΑΙΕΝ ΕΤΟΙΜΑ ΘΕΗΣ ΥΠΟΔΕΧΘΑΙ ΟΜΟΚΛΗΝ.
ΤΗΙ ΙΚΕΛΗ ΘΑΥΜΑΝΤΟΣ ΥΠΟ ΘΡΟΝΟΝ ΙΖΕΤΟ ΚΟΥΡΗ·
ΚΕΙΝΗ Δ' ΟΥ ΔΕ ΠΟΤΕ ΣΦΕΤΕΡΗΣ ΕΠΙΛΗΘΕΤΑΙ ΕΔΡΗΣ.

Latona solvit zona

In deli

ΟΥ Δ' ΟΤΕ ΟΙ ΛΗΘΑΙΟΝ ΕΠΙ ΠΤΕΡΟΝ ΥΠΝΟΣ ΕΡΕΙΣΗΙ· — ληθαίου
ΑΛΛ' ΑΥΤΟΥ ΜΕΓΑΛΟΙΟ ΠΟΤΙ ΓΛΩΧΙΝΑ ΘΡΟΝΟΙΟ
ΤΥΤΘΟΝ ΑΠΟΚΛΙΝΑΣΑ ΚΑΡΗΑΤΑ, ΛΕΧΡΙΟΣ ΕΥΔΕΙ·
ΟΥ ΔΕ ΠΟΤΕ ΖΩΝΗΝ ΑΝΑΛΥΕΤΑΙ· ΟΥ ΔΕ ΤΑΧΕΙΑΣ
ΕΝΔΡΟΜΙΔΑΣ· ΜΗ ΟΙ ΤΙ ΚΑΙ ΑΙΦΝΙΔΙΟΝ ΕΠΟΣ ΕΙΠΗΙ
ΔΕΣΠΟΤΙΣ· Η Δ' ΑΛΕΓΥΝΟΝ ΑΛΑΣΤΗΣΑΣΑ ΠΡΟΣΗΥΔΑ· — ἀλαστήσασα
ΟΥΤΩ ΝΥΝ Ω ΖΗΝΟΣ ΟΝΕΙΔΕΑ· ΚΑΙ ΓΑΜΕΟΙΣΘΕ
ΛΑΘΡΙΑ· ΚΑΙ ΤΙΚΤΟΙΤΕ ΚΕΚΡΥΜΜΕΝΑ· ΜΗ Δ' ΟΘΙ ΔΕΙΛΑΙ — ὅθι
ΔΥΣΤΟΚΕΕΣ ΜΟΓΕΟΥΣΙΝ ΑΛΕΤΡΙΔΕΣ. ΑΛΛ' ΟΘΙ ΦΩΚΑΙ
ΕΙΝΑΛΙΑΙ ΤΙΚΤΟΥΣΙΝ ΕΝΙ ΣΠΙΛΑΔΕΣΣΙΝ ΕΡΗΜΟΙΣ·
ΑΣΤΕΡΙΗΙ Δ' ΟΥΔΕΝ ΤΙ ΒΑΡΥΝΟΜΑΙ ΕΙΝΕΚΑ ΤΗΣΔΕ
ΑΜΠΛΑΚΙΗΣ· ΟΥ Δ' ΕΣΤΙΝ ΟΠΩΣ ΑΠΟΘΥΜΙΑ ΡΕΞΩ
ΤΟΣΣΑ ΔΕΟΙ. ΜΑΛΑ ΓΑΡ ΤΕ ΚΑΚΩΣ ΕΧΑΡΙΣΣΑΤΟ ΛΗΤΟΙ·
ΑΛΛΑ ΜΙΝ ΕΚΠΑΓΛΟΝ ΤΙ ΣΕΒΙΖΟΜΑΙ. ΟΥΝΕΚ' ΕΜΕΙΟ
ΔΕΜΝΙΟΝ ΟΥΚ ΕΠΑΤΗΣΕ. ΔΙΟΣ Δ' ΑΝΘΕΙΛΕΤΟ ΠΟΝΤΟΝ·
Η ΜΕΝ ΕΦΗ. ΚΥΚΝΟΙ ΔΕ ΘΕΟΥ ΜΕΛΠΟΝΤΕΣ ΑΟΙΔΟΙ — Cygni apollinis cantores
ΜΗΙΟΝΙΟΝ ΠΑΚΤΩΛΟΝ ΕΚΥΚΛΩΣΑΝΤΟ ΛΙΠΟΝΤΕΣ
ΕΒΔΟΜΑΚΙΣ ΠΕΡΙ ΔΗΛΟΝ· ΕΠΗΕΙΣΑΝ ΔΕ ΛΟΧΕΙΗΙ — Pactolus
ΜΟΥΣΑΩΝ ΟΡΝΙΘΕΣ ΑΟΙΔΟΤΑΤΟΙ ΠΕΤΕΗΝΩΝ·
ΕΝΘΕΝ Ο ΠΑΙΣ ΤΟΣΣΑΣ ΔΕ ΛΥΡΗΙ ΕΝΕΔΗΣΑΤΟ ΧΟΡΔΑΣ — Lyre chorde septe
ΥΣΤΕΡΟΝ ΟΣΣΑΚΙ ΚΥΚΝΟΙ ΕΠ' ΩΔΙΝΕΣΣΙΝ ΑΕΙΣΑΝ·
ΟΓΔΟΟΝ ΟΥΚΕΤ' ΗΕΙΣΑΝ. Ο Δ' ΕΚΘΟΡΕΝ. ΑΙ Δ' ΕΠΙ ΜΑΚΡΟΝ
ΝΥΜΦΑΙ ΔΗΛΙΑΔΕΣ ΠΟΤΑΜΟΥ ΓΕΝΟΣ ΑΡΧΑΙΟΙΟ
ΕΙΠΑΝ ΕΛΗΘΥΙΗΣ ΙΕΡΟΝ ΜΕΛΟΣ· ΑΥΤΙΚΑ Δ' ΑΙΘΗΡ
ΧΑΛΚΕΟΣ ΑΝΤΗΧΗΣΕ ΔΙΑΠΡΥΣΙΗΝ ΟΛΟΛΥΓΗΝ· — διαπρυσίην

ΟΥ ΔΗΡΗ ΝΕΜΕΣΗΣΕΝ, ΕΠΕΙ ΧΟΛΟΝ ΕΞΕΛΕΤΟ ΖΕΥΣ.
ΧΡΥΣΕΑ ΤΟΙ ΤΟΤΕ ΠΑΝΤΑ ΘΕΜΕΙΛΙΑ ΓΕΙΝΕΤΟ ΔΗΛΕ.
ΧΡΥΣΩΙ ΔΕ ΤΡΟΧΟΕΣΣΑ ΠΑΝΗΜΕΡΟΣ ΕΡΡΕΕ ΛΙΜΝΗ.
ΧΡΥΣΕΙΟΝ Δ' ΕΚΟΜΙΣΣΕ ΓΕΝΕΘΛΙΟΝ ΕΡΝΟΣ ΕΛΑΙΗΣ.
ΧΡΥΣΩΙ ΔΕ ΠΛΗΜΥΡΕ ΒΑΘΥΣ ΙΝΩΠΟΣ ΕΛΙΧΘΕΙΣ.
ΑΥΤΗ ΔΕ ΧΡΥΣΕΟΙΟ ΑΠ' ΟΥΔΕΟΣ ΕΙΛΕΟ ΠΑΙΔΑ.
ΕΝ Δ' ΕΒΑΛΕΥ ΚΟΛΠΟΙΣΙΝ· ΕΠΟΣ Δ' ΕΦΘΕΓΞΑΟ ΤΟΙΟΝ.
Ω ΜΕΓΑΛ' Ω ΠΟΛΥΒΩΜΕ ΠΟΛΥΠΤΟΛΙ ΠΟΛΛΑ ΦΕΡΟΥΣΑ.
ΠΙΟΝΕΣ ΗΠΕΙΡΟΙ ΤΕ ΚΑΙ ΑΙ ΠΕΡΙΝΑΙΕΤΕ ΝΗΣΟΙ.
ΑΥΤΗ ΕΓΩ ΤΟΙΗΔΕ ΔΥΣΗΡΟΤΟΣ. ΑΛΛ' ΑΠ' ΕΜΕΙΟ
ΔΗΛΙΟΣ ΑΠΟΛΛΩΝ ΚΕΚΛΗΣΕΤΑΙ· ΟΥ ΔΕ ΤΙΣ ΑΛΛΗ
ΓΑΙΑΩΝ ΤΟΣΣΟΝ ΔΕ ΘΕΩΙ ΠΕΦΙΛΗΣΕΤΑΙ ΑΛΛΩΙ.
ΟΥ ΚΕΡΧΝΙΣ ΚΡΕΙΟΝΤΙ ΠΟΣΕΙΔΑΩΝΙ ΛΕΧΑΙΩΙ.
ΟΥ ΠΑΓΟΣ ΕΡΜΕΙΗΙ ΚΥΛΛΗΝΙΟΣ· ΟΥ ΔΙΙ ΚΡΗΤΗ,
ΩΣ ΕΓΩ ΑΠΟΛΛΩΝΙ. ΚΑΙ ΕΣΣΟΜΑΙ ΟΥΚΕΤΙ ΠΛΑΓΚΤΗ.
ΩΔΕ ΣΥ ΜΕΝ ΚΑΤΕΛΕΞΑΣ· Ο ΔΕ ΓΛΥΚΥΝ ΕΣΠΑΣΕ ΜΑΖΟΝ.
ΤΩΙ ΚΑΙ ΝΗΣΑΩΝ ΑΓΙΩΤΑΤΗ ΕΞΕΤΙ ΚΕΙΝΟΥ
ΚΛΗΙΖΗΙ ΑΠΟΛΛΩΝΟΣ ΚΟΥΡΟΤΡΟΦΟΣ. ΟΥ ΔΕ ΣΕ ΕΝΥΩ
ΟΥ Δ' ΑΙΔΗΣ· ΟΥ Δ' ΙΠΠΟΙ ΕΠΙΣΤΕΙΒΟΥΣΙΝ ΑΡΗΟΣ.
ΑΛΛΑ ΤΟΙ ΑΜΦΙΕΤΕΙΣ ΔΕΚΑΤΗΦΟΡΟΙ ΑΙΕΝ ΑΠΑΡΧΑΙ
ΠΕΜΠΟΝΤΑΙ· ΠΑΣΑΙ ΔΕ ΧΟΡΟΥΣ ΑΝΑΓΟΥΣΙ ΠΟΛΗΕΣ.
ΑΙ ΤΕ ΠΡΟΣ ΗΟΙΗΝ· ΑΙ Θ' ΕΣΠΕΡΟΝ· ΑΙ Τ' ΑΝΑ ΜΕΣΣΗΝ
ΚΛΗΡΟΥΣ ΕΣΤΗΣΑΝΤΟ. ΚΑΙ ΟΙ ΚΑΘΥΠΕΡΘΕ ΒΟΡΕΙΗΣ
ΟΙΚΙΑ ΘΙΝΟΣ ΕΧΟΥΣΙ ΠΟΛΥΧΡΟΝΙΩΤΑΤΟΝ ΑΙΜΑ.

*In delu*

ΟΙ ΜΕΝ ΤΟΙ ΚΑΛΑΜΗΝ ΤΕ ΚΑΙ ΙΕΡΑ ΑΡΑΓΜΑΤΑ ΓΡΩΤΟΙ *Hyporeorum*
ΑΣΤΑΧΥΩΝ ΦΟΡΕΟΥΣΙΝ· Α ΔΩΔΩΝΗΘΕ ΠΕΛΑΣΓΟΙ *dona apollini*
ΤΗΛΟΘΕΝ ΕΚΒΑΙΝΟΝΤΑ ΠΟΛΥ ΠΡΩΤΙΣΤΑ ΔΕΧΟΝΤΑΙ *missa*
ΓΗΛΕΧΕΕΣ ΘΕΡΑΠΟΝΤΕΣ ΑΣΙΓΗΤΟΙΟ ΛΕΒΗΤΟΣ·
ΔΕΥΤΕΡΟΝ ΙΕΡΟΝ ΑΣΤΥ· ΚΑΙ ΟΥΡΕΑ ΜΗΛΙΔΟΣ ΑΙΗΣ *γηλεχέες θε ράποντες*
ΕΡΧΟΝΤΑΙ· ΚΕΙΘΕΝ ΔΕ ΔΙΑΓΛΩΟΥΣΙΝ ΑΒΑΝΤΩΝ
ΕΙΣ ΑΓΑΘΟΝ ΠΕΔΙΟΝ ΛΗΛΑΝΤΙΟΝ. ΟΥ ΔΕ ΤΙ ΜΑΚΡΟΣ *Melis urbs*
Ο ΠΛΟΟΣ ΕΥΒΟΙΗΘΕΝ· ΕΠΕΙ ΣΕΟ ΓΕΙΤΟΝΕΣ ΟΡΜΟΙ *Lelantius ca*
ΓΡΩΤΑΙ ΤΟΙ ΤΑΔ' ΕΝΕΙΚΑΝ ΑΓΟ ΞΑΝΘΩΝ ΑΡΙΜΑΣΡΩΝ *pus euboee*
ΟΥΓΙΣ ΤΕ ΛΟΞΩ ΤΕ ΚΑΙ ΕΥΑΙΩΝ ΕΚΑΕΡΓΗ·
ΘΥΓΑΤΕΡΕΣ ΒΟΡΕΑΟ. ΚΑΙ ΑΡΣΕΝΕΣ. ΟΙ ΤΟΤ' ΑΡΙΣΤΟΙ *~~Oupis~~*
ΗΙΘΕΩΝ· ΟΥ Δ' ΟΙΓΕ ΓΑΛΙΜΠΕΤΕΣ ΟΙΚΑΔ' ΙΚΟΝΤΟ· *Vpis*
ΕΥΜΟΙΡΟΙ Δ' ΕΓΕΝΟΝΤΟ ΚΑΙ ΑΚΛΕΕΣ ΟΥ ΠΟΤ' ΕΚΕΙΝΟΙ· *Loxo* *so ro*
ΗΤΟΙ ΔΗΛΙΑΔΕΣ ΜΕΝ Ο ΤΕΥΗΧΗΣ ΥΜΕΝΑΙΟΣ *Hecaerge*
ΗΘΕΑ ΚΟΥΡΑΩΝ ΜΟΡΝΥΣΣΕΤΑΙ ΗΛΙΚΑ ΧΑΙΤΗΝ
ΠΑΡΘΕΝΙΚΑΙ· ΠΑΙΔΕΣ ΔΕ ΘΕΡΟΣ ΤΟ ΠΡΩΤΟΝ ΙΟΥΛΩΝ
ΑΡΣΕΝΕΣ ΗΙΘΕΟΙΣΙΝ ΑΠΑΡΧΟΜΕΝΟΙ ΦΟΡΕΟΥΣΙΝ.
ΑΣΤΕΡΙΗ ΘΥΟΕΣΣΑ. ΣΕ ΜΕΝ ΠΕΡΙ Τ' ΑΜΦΙ ΤΕ ΝΗΣΟΙ *περί τ' ἀμφί*
ΚΥΚΛΟΝ ΕΠΟΙΗΣΑΝΤΟ ΚΑΙ ΩΣ ΧΟΡΟΝ ΑΜΦΕΒΑΛΟΝΤΟ·
ΟΥΤΕ ΣΙΩΠΗΛΗΝ ΟΥΤ' ΑΤΟΦΟΝ· ΟΥΛΟΣ ΕΘΕΙΡΑΙΣ
ΕΣΠΕΡΟΣ· ΑΛΛ' ΑΙΕΙ ΣΕ ΚΑΤΑΒΛΕΠΕΙ ΑΜΦΙΒΟΗΤΟΝ·
ΟΙ ΜΕΝ ΥΠΑΕΙΔΟΥΣΙ ΝΟΜΟΝ ΛΥΚΙΟΙΟ ΓΕΡΟΝΤΟΣ.
ΟΝ ΤΟΙ ΑΠΟ ΞΑΝΘΟΙΟ ΘΕΟΠΡΟΠΟΣ ΗΓΑΓΕΝ ΩΛΗΝ· *Olen lycius*
ΑΙ ΔΕ ΠΟΔΙ ΠΛΗΣΣΟΥΣΙ ΧΟΡΗΤΙΔΕΣ ΑΣΦΑΛΕΣ ΟΥΔΑΣ·

ΔΗ͂ ΤΟΤΕ ΚΑῚ ΣΤΕΦΆΝΟΙΣΙ ΒΑΡΎΝΕΤΑΙ ἹΡῸΝ ἌΓΑΛΜΑ

ΚΎΠΡΙΔΟΣ ἈΡΧΑΊΗΣ ἈΡΙΉΚΟΟΝ· ἫΝ ΠΟΤῈ ΘΗΣΕῪΣ

ΕἼΣΑΤΟ ΣῪΝ ΠΑΊΔΕΣΣΙΝ ὍΤΕ ΚΡΗΤΉΘΕΝ ἈΝΈΠΛΕΙ·

ΟἹ ΧΑΛΕΠῸΝ ΜΉΚΥΜΑ ΚΑῚ ἌΓΡΙΟΝ ΥἯΑ ΦΥΓΌΝΤΕΣ

ΠΑΣΙΦΆΗΣ. ΚΑῚ ΓΝΑΜΠΤῸΝ ἝΔΟΣ ΣΚΟΛΙΟΥ͂ ΛΑΒΥΡΊΝΘΟΥ,

ΠΌΤΝΙΑ ΣῸΝ ΠΕΡῚ ΒΩΜῸΝ ἘΓΕΙΡΟΜΈΝΟΥ ΚΙΘΑΡΙΣΜΟΥ͂

ΚΎΚΛΙΟΝ ὨΡΧΉΣΑΝΤΟ· ΧΟΡΟΥ͂ ΔἩΓΉΣΑΤΟ ΘΗΣΕΎΣ·

ἜΝΘΕΝ ἈΕΙΖΏΟΝΤΑ ΘΕΩΡΊΔΟΣ ἹΕΡᾺ ΦΟΊΒΩΙ

ΚΕΚΡΟΠΊΔΑΙ ΠΈΜΠΟΥΣΙ ΤΟΠΉΙΑ ΝΗΟ͂Σ ἘΚΕΊΝΗΣ·

ἈΣΤΕΡΊΗ· ΠΟΛΎΒΩΜΕ. ΠΟΛΎΛΛΙΤΕ. ΤΊΣ ΔΈ ΣΕ ΝΑΎΤΗΣ

ἜΜΠΟΡΟΣ ΑἸΓΑΊΟΙΟ ΠΑΡΉΛΥΘΕ ΝΗῚ ΘΕΟΎΣΗΙ·

ΟΥ̓Χ ΟὝΤΩ ΜΕΓΆΛΟΙ ΜῚΝ ἘΠΙΠΝΕΊΟΥΣΙΝ ἈΗ͂ΤΑΙ·

ΧΡΕΙῺ ΔὍΤΤΙ ΤΆΧΙΣΤΟΝ ἌΓΕΙ ΠΛΌΟΝ, ἈΛΛᾺ ΤᾺ ΛΑΊΦΗ

ὨΚΈΕΣ ἘΣΤΕΊΛΑΝΤΟ ΚΑῚ ΟΥ̓ ΠΆΛΙΝ ΑὖΘΙΣ ἜΒΗΣΑΝ.

ΠΡῚΝ ΜΈΓΑΝ Ἢ ΣΈΟ ΒΩΜῸΝ ὙΠῸ ΠΛΗΓΗ͂ΙΣΙΝ ἙΛΊΞΑΙ

ῬΗΣΣΌΜΕΝΟΝ ΚΑῚ ΠΡΈΜΝΟΝ ὈΔΑΚΤΑ͂ΣΑΙ ἉΓΝῸΝ ἘΛΑΊΗΣ

ΧΕΙ͂ΡΑΣ ἈΠΟΣΤΡΈΨΑΝΤΑΣ. Ἃ ΔΗΛΙᾺΣ ΕὝΡΕΤΟ ΝΎΜΦΗ

ΠΑΊΓΝΙΑ ΚΟΥΡΊΖΟΝΤΙ ΚΑῚ ἈΠΌΛΛΩΝΙ ΓΕΛΑΣΤΎΝ·

ἹΣΤΊΗ. Ὦ ΝΉΣΩΝ ΕὐΈΣΤΙΕ· ΧΑΙ͂ΡΕ ΜῈΝ ΑὐΤΉ.

ΧΑΊΡΟΙ ΔἈΠΌΛΛΩΝ ΤῈ ΚΑῚ ἫΝ ἘΛΟΧΕΎΣΑΤΟ ΛΗΤΏ·

## ΕΙΣ ΛΟΥΤΡᾺ ΤΗ͂Σ ΠΑΛΛΆΔΟΣ·

ὍΣΣΑΙ ΛΩΤΡΟΧΌΟΙ ΤΑ͂Σ ΠΑΛΛΆΔΟΣ ἜΞΙΤΕ ΠΑ͂ΣΑΙ,

ἜΞΙΤΕ ΤΑ͂Ν ἹΠΠΩΝ ἌΡΤΙ ΦΡΥΑΣΣΟΜΕΝΑ͂Ν.

ΤΑ͂Ν ἹΕΡΑ͂Ν ἘΣΑΚΟΥΣΑ ΚΑῚ Ἁ ΘΕῸΣ ΕὔΤΥΚΟΣ ἝΡΠΕΙ·

ἀριήκοον

Theseus

ἐλ

Theoridos sacra

τοπήια

ἀῆται

Deli flagella

εὔτυκος

In Palladē

ΣΟΥ͂ΣΘΈ ΝΥΝ Ὦ ΞΑΝΘΑῚ ΣΟΥ͂ΣΘΕ ΠΕΛΑΣΓΙΆΔΕΣ· — σοῦσθε

ΟΥ̓́ΠΟΤ' ἈΘΑΝΑΊΑ ΜΕΓΆΛΩΣ ἈΠΕΝΊΨΑΤΟ ΠΆΧΕΙΣ·
ΠΡῚΝ ΚΌΝΙΝ ἹΠΠΕΊΑΝ ἘΞΕΛΆΣΑΙ ΛΑΓΌΝΩΝ·
ΟΥ̓Δ' ὍΚΑ ΔῊ ΛΎΘΡΩ ΠΕΠΑΛΑΓΜΈΝΑ ΠΆΝΤΑ ΦΈΡΟΙΣΑ — φέροισα
ΤΕΎΧΕΑ ΤΩ͂Ν ἈΔΊΚΩΝ Η͂ΝΘ' ἈΠῸ ΓΗΓΕΝΈΩΝ· — ἦνθε
ἈΛΛᾺ ΠΟΛῪ ΠΡΆΤΙΣΤΟΝ ὙΦ' ἍΡΜΑΤΟΣ ΑΥ̓ΧΈΝΑΣ ἽΠΠΩΝ
ΛΥΣΣΑΜΈΝΑ ΠΑΓΑΙ͂Σ ἜΚΛΥΣΕΝ ὨΚΕΑΝΩ͂Ι·
ἸΔΡΩ͂ ΚΑῚ ῬΑΘΆΜΙΓΓΑΣ. ἘΦΟΊΒΑΣΕ ΔῈ ΠΑΓΈΝΤΑ
ΠΆΝΤΑ ΧΑΛΙΝΟΦΆΓΩΝ ἈΦΡῸΝ ἈΠῸ ΣΤΟΜΆΤΩΝ·
Ὦ ἼΤ' ἈΧΑΙΙΆΔΕΣ. ΚΑῚ ΜῊ ΜΎΡΑ ΜΗ Δ' ἈΛΑΒΆΣΤΡΩΣ
ΣΥΡΊΓΓΩΝ ἈΪΩ ΦΘΌΓΓΟΝ ὙΠΑΞΟΝΊΩΝ·
ΜῊ ΜΎΡΑ ΛΩΤΡΟΧΌΟΙ ΤᾺΙ ΠΑΛΛΆΔΙ ΜῊ Δ' ἈΛΑΒΆΣΤΡΩΣ·
ΟΥ̓ ΓᾺΡ ἈΘΑΝΑΊΑ ΧΡΊΜΑΤΑ ΜΙΚΤᾺ ΦΙΛΕΙ͂·
ΟἸΣΕΤΕ ΜΗ ΔῈ ΚΆΤΟΠΤΡΟΝ. ἈΕῚ ΚΑΛῸΝ ὌΜΜΑ ΤῸ ΤΗ͂ΝΑΣ·
ΟΥ̓Δ' ὍΚΑ ΤᾺΝ ἼΔΑΝ ΦΡῪΞ ἘΔΊΚΑΖΕΝ ἜΡΙΝ·
ΟΥ̓Δ' ἘΣ ὈΡΕΙΧΑΛΚΟΝ ΜΕΓΆΛΑ ΘΕῸΣ ΟΥ̓ΔῈ ΣΙΜΟΥ͂ΝΤΟΣ
ἜΒΛΕΨΕΝ ΔΊΝΑΝ ἘΣ ΔΙΑΦΑΙΝΟΜΈΝΑΝ·
ΟΥ̓Δ' ἭΡΗ· ΚΎΠΡΙΣ ΔῈ ΔΙΑΥΓΈΑ ΧΑΛΚῸΝ ἘΛΟΙ͂ΣΑ
ΠΟΛΛΆΚΙ ΤᾺΝ ΑΥ̓ΤᾺΝ ΔῚΣ ΜΕΤΈΘΗΚΕ ΚΌΜΑΝ·
Ἁ ΔΈ, ΔῚΣ ἙΞΉΚΟΝΤΑ ΔΙΑΘΡΈΞΑΣΑ ΔΙΑΎΛΩΣ·
ΟἿΑ ΠΑΡ' ΕΥ̓ΡΏΤΑΙ ΤΟῚ ΛΑΚΕΔΑΙΜΌΝΙΟΙ
ἈΣΤΈΡΕΣ ἘΜΠΕΡΆΜΩΣ ἘΤΡΊΨΑΤΟ ΛΙΤᾺ ΒΑΛΟΙ͂ΣΑ
i. oliue — ΧΡΊΜΑΤΑ ΤΑ͂Σ ἸΔΊΑΣ ἜΚΓΟΝΑ ΦΥΤΑΛΙΑ͂Σ.

bis sexaginta spaciis
neru incita cucurrit
stelle apud eurota
ceu lacedemonie
pfecerit tantu pingui
se diua liquore de
baccis arbor que sua
protulerat

σοῦσθε
λύθρω
ἐφοίβασε
ὀρείχαλκον
διαύλως
ἐμπεράμως

Ω ΚΟΥΡΑΙ. ΤΟ Δ' ΕΡΕΥΘΟΣ ΑΝΕΔΡΑΜΕ ΠΡΩΙΟΝ ΟΙΗΝ·
Η ΡΟΔΟΝ Η ΣΙΒΔΗΣ ΚΟΚΚΟΣ ΕΧΕΙ ΧΡΟΙΗΝ·
ΤΩΙ ΚΑΙ ΝΥΝ ΑΡΣΕΝ ΤΕ ΚΟΜΙΣΣΑΤΕ ΜΟΥΝΟΝ ΕΛΑΙΟΝ·
ΩΙ ΚΑΣΤΩΡ ΩΙ ΚΑΙ ΧΡΙΕΤΑΙ ΗΡΑΚΛΕΗΣ·
ΟΙΣΕΤΕ ΚΑΙ ΚΤΕΝΑ ΟΙ ΠΑΓΧΡΥΣΕΟΝ, ΩΣ ΑΠΟ ΧΑΙΤΑΝ
· ΠΕΞΗΤΑΙ. ΛΙΠΑΡΟΝ ΣΜΑΣΑΜΕΝΑ ΠΛΟΚΑΜΟΝ·
ΕΞΙΘ' ΑΘΑΝΑΙΑ. ΠΑΡΑ ΤΟΙ ΚΑΤΑΘΥΜΙΟΣ ΙΛΑ.
ΠΑΡΘΕΝΙΚΑΙ ΜΕΓΑΛΩΝ ΠΑΙΔΕΣ ΑΚΕΣΤΟΡΙΔΑΝ·
Ω'ΘΑΝΑ. ΦΕΡΕΤΑΙ ΔΕ ΚΑΙ Α ΔΙΟΜΗΔΕΟΣ ΑΣΠΙΣ·
ΩΣ ΕΘΟΣ ΑΡΓΕΙΩΝ ΤΟΥΤΟ ΠΑΛΑΙΟΤΕΡΟΝ
ΕΥΜΗΔΗΣ ΕΔΙΔΑΞΕ ΤΕΙΝ ΚΕΧΑΡΙΣΜΕΝΟΣ ΙΡΕΥΣ·
ΟΣ ΠΟΤΕ ΒΟΥΛΕΥΤΟΝ ΓΝΟΥΣ ΕΠΙ ΟΙ ΘΑΝΑΤΟΝ
ΔΑΜΟΝ ΕΤΟΙΜΑΖΟΝΤΑ, ΦΥΓΑΙ ΤΕΟΝ ΙΡΟΝ ΑΓΑΛΜΑ
ΩΙΧΕΤ' ΕΧΩΝ. ΚΡΕΙΟΝ Δ' ΕΙΣ ΟΡΟΣ ΩΙΚΙΣΑΤΟ·
ΚΡΕΙΟΝ ΟΡΟΣ. ΣΕ ΔΕ ΔΑΙΜΟΝ ΑΠΟΡΡΩΓΕΣΣΙΝ ΕΘΗΚΕΝ
ΕΝ ΠΕΤΡΑΙΣ. ΑΙΣ ΝΥΝ ΟΥΝΟΜΑ ΠΑΛΛΑΤΙΔΕΣ·
ΕΞΙΘ' ΑΘΑΝΑΙΑ ΠΕΡΣΕΠΤΟΛΙ. ΧΡΥΣΕΟΠΗΛΗΞ·
ΙΠΠΩΝ ΚΑΙ ΣΑΚΕΩΝ ΑΔΟΜΕΝΑ ΠΑΤΑΓΩΙ·
ΣΑΜΕΡΟΝ ΥΔΡΟΦΟΡΟΙ ΜΗ ΒΑΠΤΕΤΕ. ΣΑΜΕΡΟΝ ΑΡΓΟΣ
ΠΙΝΕΤ' ΑΠΟ ΚΡΑΝΑΝ, ΜΗΔ' ΑΠΟ ΤΩΝ ΠΟΤΑΜΩΝ·
ΣΑΜΕΡΟΝ ΑΙ ΔΩΛΑΙ ΤΑΣ ΚΑΛΠΙΔΑΣ Η 'Σ ΦΥΣΑΔΕΙΑΝ
Η ΕΣ ΑΜΥΜΩΝΗΝ ΟΙΣΕΤΕ ΤΑΝ ΔΑΝΑΩ.
ΚΑΙ ΓΑΡ ΔΗ ΧΡΥΣΩΙ ΤΕ ΚΑΙ ΑΝΘΕΣΙΝ ΥΔΑΤΑ ΜΙΞΑΣ
ΗΞΕΙ ΦΟΡΒΑΙΩΝ ΙΝΑΧΟΣ ΕΞ ΟΡΕΩΝ·

*Que cosa que grano punicea mala ferunt*

*ἀκεστορίδαι*

*de hac historia zenobius in proemiis meminit*

*διομήδεος ἀσπίς*

*politianus δαίμον' ἑτοι &c legit ideoque transtulit ire mala sorte*

*παλλατίδες petre*

*Κρεῖον ὄρος*

*φυσάδεια, ἀμυμώνη*

*aut ad amymone progeniem danai*

*σίβδης*

*σμασαμένα*

*ἴλα*

ΤᾺΝ ἈΘΑΝΑΝ, ΤῸ ΛΟΕΤΡῸΝ ἌΓΩΝ ΚΑΛΌΝ· ἈΛΛᾺ ΠΕΛΑΣΓΈ
ΦΡΑΖΕΟ ΜΟΥΚΈΘΕΛΩΝ ΤᾺΝ ΒΑΣΊΛΕΙΑΝ ἼΔΗΙΣ·
ὌΣ ΚΕΝ ἼΔΗΙ ΓΥΜΝᾺΝ ΤᾺΝ ΠΑΛΛΆΔΑ ΤᾺΝ ΠΟΛΙΟῦΧΟΝ,
ΤὮΡΓΟΣ ἘΣΟΨΕῖΤΑΙ ΤΟῦΤΟ ΠΑΝΥΣΤΆΤΙΟΝ·
ΠΌΤΝΙ ἈΘΑΝΑΊΑ· ΣῪ ΜῈΝ ἜΞΙΘΙ· ΜΈΣΦΑ ΔἘΓΏ ΤΙ
ΤΑῖΣΔἘΡΈΩ· ΜῦΘΟΣ ΔΟΥΚἘΜῸΣ ἈΛΛἙΤΈΡΩΝ·
ΠΑῖΔΕΣ ἈΘΑΝΑΊΑ ΝΎΜΦΑΝ ΜΊΑΝ ἜΝ ΠΟΚΑ ΘΉΒΑΙΣ
ΠΟΥΛΎ ΤΙ ΚΑῚ ΠΕΡῚ ΔῊ ΦΊΛΑΤΟ ΤᾶΝ ἙΤΕΡᾶΝ·
ΜΑΤΈΡΑ ΤΕΙΡΕΣΊΑΟ, ΚΑῚ ΟὔΠΟΚΑ ΧΩΡῚΣ ἜΓΕΝΤΟ·
ἈΛΛᾺ ΚΑῚ ἈΡΧΑΊΩΝ ΕὖΤἘΠῚ ΘΕΣΠΙΈΩΝ.
ἪῬῚ ΚΟΡΩΝΕΊΑΣ Ἢ ΕἸΣ ἉΛΊΑΡΤΟΝ ἘΛΑΎΝΟΙ
ἽΠΠΟΥΣ· ΒΟΙΩΤῶΝ ἜΡΓΑ ΔΙΕΡΧΟΜΈΝΑ.
ἪῬῚ ΚΟΡΩΝΕΊΑΣ, ἽΝΑ ΟἹ ΤΕΘΥΩΜΈΝΟΝ ἌΛΣΟΣ
ΚΑῚ ΒΩΜΟῚ ΠΟΤΑΜῷΙ ΚΕῖΝΤἘΠῚ ΚΟΥΡΑΛΊΩΙ·
ΠΟΛΛΆΚΙΣ Ἁ ΔΑΊΜΩΝ ΜΙΝ ἙῶΙ ἘΠΕΒΆΣΑΤΟ ΔΊΦΡΩΙ·
ΟὐΔΌΑΡΟΙ ΝΥΜΦᾶΝ ΟὐΔῈ ΧΟΡΟΣΤΑΣΊΑΙ.
ἉΔΕῖΑΙ ΤΕΛΈΘΕΣΚΟΝ, ὍΤΟὐΧἉΓΕῖΤΟ ΧΑΡΙΚΛῺ·
ἈΛΛἜΤΙ ΚΑῚ ΤΉΝΑΝ ΔΆΚΡΥΑ ΠΌΛΛἜΜΕΝΕ·
ΚΑΊ ΠΕΡ ἈΘΑΝΑΊΑΙ ΚΑΤΑΘΎΜΙΟΝ ΕὖΣΑΝ ἙΤΑΊΡΑΝ·
ΔΉ ΠΟΤΕ ΓᾺΡ ΠΈΠΛΩΝ ΛΥΣΑΜΈΝΑ ΠΕΡΌΝΑΣ
ἽΠΠΩ ἘΠῚ ΚΡΆΝΑΙ ἙΛΙΚΩΝΊΔΙ ΚΑΛᾺ ῬΕΟΊΣΑΙ
ΛῶΝΤΟ· ΜΕΣΑΜΒΡΙΝᾺ ΔΕἾΧὌΡΟΣ ἉΣΥΧΊΑ·

Γ III

·/· apostrophus pro ·η·

i. hanc fabulam non a me ipsa excogitavi sed ab aliis accepi

Z pro quando

Lucus palladis in coronea

Curalius fluvi.

Chariclo mater tiresie vatis. pr autem fuit pire treus authore lactantio gramatico thebaidos interprete. sed melius est ut callimachi interpreti fides adhibeatur scribit eueris f. fuisse unde patronymicum eueridis

× politianus dum lavat in lymphis heliconidos hippocrenes

Z

ΑΜΦΟΤΕΡΑΙ ΛΟΩΝΤΟ· ΜΕΣΑΜΒΡΙΝΑΙ Δ' ΕΣΑΝ ΩΡΑΙ·
ΠΟΛΛΑ Δ' ΑΣΥΧΙΑ ΤΗΝΟ ΚΑΤΕΙΧΕΝ ΟΡΟΣ·
ΤΕΙΡΕΣΙΑΣ Δ' ΕΤΙ ΜΟΥΝΟΣ ΑΜΑΙ ΚΥΣΙΝ ΑΡΤΙ ΓΕΝΕΙΑ
ΠΕΡΚΑΖΩΝ, ΙΕΡΟΝ ΧΩΡΟΝ ΑΝΕΣΤΡΕΦΕΤΟ·
ΔΙΨΑΣΑΣ Δ' ΑΦΑΤΟΝ ΤΙ ΠΟΤΙ ΡΟΟΝ ΗΛΥΘΕ ΚΡΑΝΑΣ·
ΣΧΕΤΛΙΟΣ· ΟΥΚ ΕΘΕΛΩΝ Δ' ΕΙΔΕ ΤΑ ΜΗ ΘΕΜΙΔΕΣ·
ΤΟΝ ΔΕ ΧΟΛΩΣΑΜΕΝΑ ΠΕΡ, ΟΜΩΣ ΠΡΟΣΕΦΑΣΕΝ ΑΘΑΝΑ·
ΤΙΣ ΣΕ ΤΟΝ, ΟΦΘΑΛΜΩΣ ΟΥΚΕΤ' ΑΠΟΙΣΟΜΕΝΟΝ
Ω ΕΥΗΡΕΙΔΑ ΧΑΛΕΠΗΝ ΟΔΟΝ ΑΓΑΓΕ ΔΑΙΜΩΝ·
Α ΜΕΝ ΕΦΑ· ΠΑΙΔΟΣ Δ' ΟΜΜΑΤΑ ΝΥΞ ΕΒΑΛΕΝ·
ΕΣΤΑΘΗ Δ' ΑΦΘΟΓΓΟΣ· ΕΚΟΛΛΑΣΑΝ ΓΑΡ ΑΝΙΑΙ
ΓΩΝΑΤΑ· ΚΑΙ ΦΩΝΑΝ ΕΣΧΕΝ ΑΜΗΧΑΝΙΑ·
Α ΝΥΜΦΑ Δ' ΕΒΟΗΣΕ· ΤΙ ΜΟΙ ΤΟΝ ΚΩΡΟΝ ΕΡΕΞΑΣ
ΠΟΤΝΙΑ. ΤΟΙΑΥΤΑΙ ΔΑΙΜΟΝΕΣ ΕΣΤΕ ΦΙΛΑΙ·
ΟΜΜΑΤΑ ΜΟΙ ΤΟΥ ΠΑΙΔΟΣ ΑΦΕΙΛΕΟ. ΤΕΚΝΟΝ ΑΛΑΣΤΕ·
ΕΙΔΕΣ ΑΘΑΝΑΙΑΣ ΣΤΗΘΕΑ ΚΑΙ ΛΑΓΟΝΑΣ.
ΑΛΛ' ΟΥΚ ΑΕΛΙΟΝ ΠΑΛΙΝ ΟΨΕΑΙ. Ω ΕΜΕ ΔΕΙΛΑΝ.
Ω ΟΡΟΣ· Ω ΕΛΙΚΩΝ· ΟΥΚΕΤΙ ΜΟΙ ΠΑΡΙΤΕ·
Η ΜΕΓΑΛ' ΑΝΤ' ΟΛΙΓΩΝ ΕΠΡΑΞΑΟ ΔΟΡΚΑΣ ΟΛΕΣΣΑΣ·
ΚΑΙ ΠΡΟΚΑΣ ΟΥ ΠΟΛΛΑΣ· ΦΑΕΑ ΠΑΙΔΟΣ ΕΧΕΙΣ·
Α ΜΕΝ ΑΜΦΟΤΕΡΑΙΣΙ ΦΙΛΟΝ ΠΕΡΙ ΠΑΙΔΑ ΛΑΒΟΙΣΑ
ΜΑΤΗΡ ΜΕΝ ΓΟΕΡΩΝ ΟΙΤΟΝ ΑΗΔΟΝΙΔΩΝ,

leni flore genas nitidus

εὐηρείδα·

εὐηρείδης· politianus in ambra. Eueride q: locutu uera senē.

ἄγαγε

ΑΓΕ ΒΑΡῪ ΚΛΑΊΟΥΣΑ. ΘΕᾺ Δ᾽ ἘΛΈΗΣΕΝ ἙΤΑΊΡΑΝ·
ΚΑΊ ΜΙΝ ἈΘΑΝΑΊΑ ΠΡῸΣ, ΤΌΔ᾽ ἜΛΕΞΕΝ ἜΠΟΣ·
ΔΊΑ ΓΎΝΑΙ· ΜΕΤΑΠΆΝΤΑ ΒΆΛΕΥ ΠΆΛΙΝ ὍΣΣΑ ΔΙ᾽ ὈΡΓᾺΝ
ΕἾΠΑΣ. ἘΓῺ Δ᾽ ΟΎ ΤΟΙ ΤΈΚΝΟΝ ἜΘΗΚ᾽ ἈΛΑΌΝ·
ΟΥ ΓᾺΡ ἈΘΑΝΑΊᾼ, ΓΛΥΚΕΡῸΝ ΠΈΛΕΙ, ὌΜΜΑΤΑ ΠΑΊΔΩΝ
ἉΡΠΆΖΕΙΝ· ΚΡΌΝΙΟΙ Δ᾽ ὯΔΕ ΛΈΓΟΝΤΙ ΝΌΜΟΙ·
ὋΣ ΚΈ ΤΙΝ᾽ ἈΘΑΝΆΤΩΝ ὍΚΑ ΜῊ ΘΕῸΣ ΑΥ̓ΤῸΣ ἝΛΗΤΑΙ
ἈΘΡΉΣῌ, ΜΙΣΘΩ͂Ι ΤΟΥ͂ΤΟΝ ἸΔΕΙ͂Ν ΜΕΓΆΛΩΙ·
ΔΊΑ ΓΎΝΑΙ· ΤῸ ΜῈΝ ΟΥ̓ ΠΑΛΙΝΆΓΡΕΤΟΝ ΑΥ̓͂ΘΙ ΓΈΝΟΙΤΟ
ἜΡΓΟΝ. ἘΠΕῚ ΜΟΙΡΑ͂Ν ὯΔ᾽ ἘΠΈΝΕΥΣΕ ΛΊΝΑ·
ἉΝΊΚΑ ΤῸ ΠΡΩ͂ΤΌΝ ΝΙΝ ἘΓΕΊΝΑΟ· ΝΥ͂Ν ΔῈ ΚΟΜΊΖΕΥ
Ὦ ΕΥ̓ΗΡΕΊΔΑ ΤΈΛΘΟΣ ὈΦΕΙΛΌΜΕΝΟΝ·
ΠΌΣΣΑ ΜῈΝ ἉΚΑΔΜΗῚΣ ἘΣΎΣΤΕΡΟΝ ἜΜΠΥΡΑ ΚΑΥ̓ΣΕΙ͂·
ΠΌΣΣΑ Δ᾽ ἈΡΙΣΤΑΙ͂ΟΣ ΤῸΝ ΜΌΝΟΝ ΕΥ̓ΧΌΜΕΝΟΙ·
ΠΑΙ͂ΔΑ ΤῸΝ ἉΒΑΤᾺΝ ἈΚΤΑΊΟΝΑ ΤΥΦΛῸΝ ἸΔΈΣΘΑΙ·
ΚΑῚ ΤΗ͂ΝΟΣ ΜΕΓΆΛΑΣ ΣΎΝΔΡΟΜΟΣ ἈΡΤΈΜΙΔΟΣ
ἜΣΣΕΤΑΙ· ἈΛΛ᾽ ΟΥ̓Κ ΑΥ̓ΤῸΝ ὍΤΕ ΔΡΌΜΟΣ ΑἹ Τ᾽ ἘΝ ὌΡΕΣΣΙ
ῬΥΣΕΥ͂ΝΤΑΙ ΞΥΝΑῚ ΤΑ͂ΜΟΣ ἙΚΑΒΟΛΊΑΙ·
ὉΠΠΌΤΑΝ ΟΥ̓Κ ἘΘΈΛΩΝ ΠΕΡ ἼΔῌ ΧΑΡΊΕΝΤΑ ΛΟΕΤΡᾺ
ΔΑΊΜΟΝΟΣ· ἈΛΛ᾽ ΑΥ̓ΤΑῚ ΤῸΝ ΠΡῚΝ ἌΝΑΚΤΑ ΚΎΝΕΣ
ΤΟΥΤΆΚΙ ΔΕΙΠΝΗΣΕΥ͂ΝΤΙ. ΤᾺ Δ᾽ ΥἹΈΟΣ ὈΣΤΈΑ ΜΆΤΗΡ
ΛΕΞΕΙ͂ΤΑΙ ΔΡΥΜΩ͂Σ ΠΆΝΤΑΣ ἘΠΕΡΧΟΜΈΝΑ·

Saturni leges

filia cadmi mr acteonis



ἀνηρέσθαι
παλινάγρετον
τέλθος

ΟΛΒΙΣΤΑΝ ΕΡΕΕΙ ΣΕ ΚΑΙ ΕΥΑΙΩΝΑ ΓΕΝΕΣΘΑΙ·
ΕΞ ΟΡΕΩΝ ΑΛΑΟΝ ΠΑΙΔΥΠΟΔΕΞΑΜΕΝΑΝ·
Ω ΕΤΑΡΑ. ΤΩΙ ΜΗ ΤΙ ΜΙΝΥΡΕΟ. ΤΩΙΔΕ ΓΑΡ ΑΛΛΑ
ΤΕΥ ΧΑΡΙΝ ΕΞ ΕΜΕΘΕΝ ΠΟΛΛΑ ΜΕΝΕΥΝΤΙ ΓΕΡΑ·
ΜΑΝΤΙΝ ΕΡΕΙ ΘΗΣΩ ΝΙΝ ΑΟΙΔΙΜΟΝ ΕΣΣΟΜΕΝΟΙΣΙΝ·
Η ΜΕΓΑ ΤΩΝ ΑΛΛΩΝ ΔΗ ΤΙ ΠΕΡΙΣΣΟΤΕΡΟΝ·
ΓΝΩΣΕΙΤΑΙ ΔΟΡΝΙΘΑΣ ΟΣ ΑΙΣΙΟΣ· ΟΙ ΤΕ ΠΕΤΟΝΤΑΙ
ΗΛΙΘΑ. ΚΑΙ ΠΟΙΩΝ ΟΥΚ ΑΓΑΘΑΙ ΠΤΕΡΥΓΕΣ·
ΠΟΛΛΑ ΔΕ ΒΟΙΩΤΟΙΣΙ ΘΕΟΠΡΟΠΑ· ΠΟΛΛΑ ΔΕ ΚΑΔΜΩΙ
ΧΡΗΣΕΙ· ΚΑΙ ΜΕΓΑΛΟΙΣ ΥΣΤΕΡΑ ΛΑΒΔΑΚΙΔΑΙΣ·
ΔΩΣΩ ΚΑΙ ΜΕΓΑ ΒΑΚΤΡΟΝ, Ο ΟΙ ΠΟΔΑΣ ΕΣ ΔΕΟΝ ΑΞΕΙ·
ΔΩΣΩ ΚΑΙ ΒΙΟΤΟΥ ΤΕΡΜΑ ΠΟΛΥΧΡΟΝΙΟΝ·
ΚΑΙ ΜΟΝΟΣ ΕΥΤΕ ΘΑΝΗΙ ΠΕΠΝΥΜΕΝΟΣ ΕΝ ΝΕΚΥΕΣΣΙ
ΦΟΙΤΑΣΕΙ. ΜΕΓΑΛΩΙ ΤΙΜΙΟΣ ΑΓΕΣΙΛΑΙ·
ΩΣ ΦΑΜΕΝΑ ΚΑΤΕΝΕΥΣΕ· ΤΟΔΕΝΤΕΛΕΣ ΩΚΕΠΙΝΕΥΣΗΙ
ΠΑΛΛΑΣ. ΕΠΕΙ ΜΩΝΑΙ ΖΕΥΣ ΤΟΓΕ ΘΥΓΑΤΕΡΩΝ
ΔΩΚΕΝ ΑΘΑΝΑΙΑΙ· ΠΑΤΡΩΙΑ ΠΑΝΤΑ ΦΕΡΕΣΘΑΙ·
ΛΩΤΡΟΧΟΟΙ· ΜΑΤΗΡ ΔΟΥ ΤΙΣ ΕΤΙΚΤΕ ΘΕΑΝ·
ΑΛΛΑ ΔΙΟΣ ΚΟΡΥΦΑ· ΚΟΡΥΦΑ ΔΙΟΣ ΟΥΚ ΕΠΙΝΕΥΕΙ
ΘΥΓΑΤΗΡ·
ΕΡΧΕΤ ΑΘΑΝΑΙΑ ΝΥΝ ΑΤΡΕΚΕΣ. ΑΛΛΑ ΔΕΧΕΣΘΕ
ΤΑΝ ΘΕΟΝ Ω ΚΩΡΑΙ ΤΩΡΓΟΣ ΟΣΑΙΣ ΜΕΛΕΤΑΙ·

*[margin, left:] politianus. Baculū dat deinde potentē tiresie magni qui quodam palladā nudā uidit & hoc raptam pensauit munere lucē*

*[margin, right:] i. alludit ad homeri uerba de tiresia in decimo odyssee οἶος πέπνυται*

*ἤλιθα*

ΣΎΝ Τ' ΕΥΑΓΟΡΊΑΙ· ΣΎΝ Τ' ΕΥΓΜΑΣΙ· ΣΎΝ Τ' ΟΛΟΛΥΓΑΙΣ·

ΧΑΙ͂ΡΕ ΘΕᾺ· ΚΆΔΕΥ Δ' ἌΡΓΕΟΣ ἸΝΑΧΊΟΙ·

ΧΑΙ͂ΡΕ ΚΑῚ ἘΞΕΛΆΟΙΣΑ, ΚΑῚ ἘΣ ΠΆΛΙΝ ΑὖΤΙΣ ἘΛΆΣΣΑΙΣ

ἽΠΠΟΥΣ· ΚΑῚ ΔΑΝΑΩ͂Ν ΚΛΑ͂ΡΟΝ ἍΠΑΝΤΑ ΣΆΩ·

# ΕΙΣ ΔΗΜΗΤΡΑ·

ΤΩ͂ ΚΑΛΆΘΩ ΚΑΤΙΌΝΤΟΣ ἘΠΙΦΘΈΓΞΑΣΘΕ ΓΥΝΑΙ͂ΚΕΣ·

ΔΆΜΑΤΕΡ· ΜΈΓΑ ΧΑΙ͂ΡΕ· ΠΟΛΥΤΡΌΦΕ ΠΟΥΛΥΜΈΔΙΜΝΕ·

ΤῸΝ ΚΆΛΑΘΟΝ ΚΑΤΙΌΝΤΑ ΧΑΜΑῚ ΘΑΣΣΕΙ͂ΣΘΕ ΒΈΒΑΛΟΙ·

ΜῊ Δ' ἈΠῸ ΤΟΥ͂ ΤΈΓΕΟΣ ΜῊ Δ' ὙΨΌΘΕΝ ΑὐΓΆΣΣΗΣΘΕ·

ΜῊ ΠΑΙ͂Σ· ΜῊ ΔῈ ΓΥΝᾺ· ΜῊ Δ' Ἃ ΚΑΤΑΧΕΎΑΤΟ ΧΑΊΤΑΝ·

ΜῊ Δ' ὍΚ' ἈΦ' ΑὐΑΛΈΩΝ ΣΤΟΜΆΤΩΝ ΠΤΎΩΜΕΣ ἌΠΑΣΤΟΙ·

ἝΣΠΕΡΟΣ ἘΚ ΝΕΦΈΩΝ ἘΣΚΈΨΑΤΟ ΠΑΝΊΚΑ ΝΕΙ͂ΤΑΙ·

ἝΣΠΕΡΟΣ ὍΣ ΤΕ ΠΙΕΙ͂Ν ΔΑΜΆΤΕΡΑ ΜΩ͂ΝΟΣ ἜΠΕΙΣΕΝ.

ἉΡΠΑΓΊΜΑΣ ὍΤ' ἌΠΥΣΤΑ ΜΕΤΈΣΤΙΧΕΝ ἼΧΝΙΑ ΚΏΡΑΣ·

ΠΌΤΝΙΑ· ΠΩ͂Σ ΣΕ ΔΎΝΑΝΤΟ ΠΌΔΕΣ ΦΈΡΕΝ ἘΣ Τ' ἘΠῚ ΔΥΘΜΑ͂Σ·

ΕΣΤΕΠΙ ΤΟΥΣ ΜΕΛΑΝΑΣ·ΚΑΙ ΟΠΑ ΤΑ ΧΡΥΣΕΑ ΜΑΛΑ·
ΟΥ ΠΙΕΣ ΟΥΤΑΡ ΕΔΕΣ ΤΗΝΟΝ ΧΡΟΝΟΝ·ΟΥ ΔΕΛΟΕΣΣΩ·
ΤΡΙΣ ΜΕΝ ΔΗ ΔΙΕΒΑΙΝΕΝ ΑΧΕΛΩΪΟΝ ΑΡΓΥΡΟΔΙΝΗΝ·
ΤΟΣΣΑΚΙ ΔΑΕΝΑΩΝ ΠΟΤΑΜΩΝ ΕΠΕΡΑΣΑΣ ΕΚΑΣΤΟΝ·
ΤΡΙΣ ΔΕΠΙ ΚΑΛΛΙ
ΑΥΣΤΑΛΕΑ, ΑΠΟΤΟΣ ΤΕ ΚΑΙ ΟΥ ΦΑΓΕΣ ΟΥ ΔΕΛΟΕΣΣΩ·
ΜΗ ΜΗ ΤΑΥΤΑ ΛΕΓΩΜΕΣ·Α ΔΑΚΡΥΟΝ ΗΓΑΓΕ ΔΗΟΙ·
ΚΑΛΛΙΟΝ ΩΣ ΠΟΛΙΕΣΣΙΝ ΕΑΔΟ
ΚΑΛΛΙΟΝ ΩΣ ΚΑΛΑΜΗΝ ΤΕ ΚΑΙ ΙΕΡΑ ΔΡΑΓΜΑΤΑ ΠΡΑΤΑ
ΑΣΤΑΧΥΩΝ ΑΠΕΚΟΨΕ ΚΑΙ ΕΝ ΒΟΑΣ ΗΚΕ ΠΑΤΗΣΑΙ,
ΑΝΙΚΑ ΤΡΙΠΤΟΛΕΜΟΣ ΑΓΑΘΑΝ ΕΔΙΔΑΣΚΕΤΟ ΤΕΧΝΑΝ·
ΚΑΛΛΙΟΝ·ΩΣ ΙΝΑ ΚΑΙ ΤΙΣ ΥΠΕΡΒΑΣΙΑΣ
ΙΔΕΣΘΑΙ·
ΟΥΠΩ ΤΑΝ ΚΝΙΔΙΑΝ ΕΤΙ ΔΩΤΙΟΝ ΙΡΟΝ ΕΝΑΙΟΝ·
ΤΙΝ ΔΑΥΤΑΙ ΚΑΛΟΝ ΑΛΣΟΣ ΕΠΟΙΗΣΑΝΤΟ ΠΕΛΑΣΓΟΙ,
ΔΕΝΔΡΕΣΙΝ ΑΜΦΙΛΑΦΕΣ·ΔΙΑ ΚΕΝ ΜΟΛΙΣ ΗΝΘΕΝ ΟΙΣΤΟΣ
ΕΝ ΠΙΤΥΣ·ΕΝ ΜΕΓΑΛΑΙ ΠΤΕΛΕΑΙ ΕΣΑΝ·ΕΝ ΔΕ ΚΑΙ ΟΧΝΑΙ.
ΕΝ ΔΕ ΚΑΛΑ ΓΛΥΚΥΜΑΛΑ·ΤΟ ΔΩΣ ΤΑΛΕΚΤΡΙΝΟΝ ΥΔΩΡ
ΕΞ ΑΜΑΡΑΝ ΑΝΕΘΥΕ·ΘΕΑ ΔΕΠΕΜΑΙΝΕΤΟ ΧΩΡΩΙ·
ΟΣΣΟΝ ΕΛΕΥΣΙΝΙ ΤΡΙΟΠΑΙ ΘΟΣΟΝ ΟΚΚΟΣΟΝ ΕΝΝΑΙ·
ΑΛΛΟΚΑ ΤΡΙΟΠΙΔΑΙΣΙΝ Ο ΔΕΞΙΟΣ ΑΧΘΕΤΟ ΔΑΙΜΩΝ,
ΤΟΥΤΑΚΙΣ Α ΧΕΙΡΩΝ ΕΡΥΣΙΧΘΟΝΟΣ ΑΨΑΤΟ ΒΩΛΑ·

αὐςαλέα
Triptolemus
Cnidia
Dotiū
γλυκύμαλα
ἀλέκτρινον ὕδωρ
ἀμαρᾶν
Triopas
Erisichthō

ΣΕΥΑΤ' ΕΚΩΝ ΘΕΡΑΠΟΝΤΑΣ ΕΕΙΚΟΣΙ ΠΑΝΤΑΣ ΕΝ ΑΚΜΑ·
ΠΑΝΤΑΣ ΑΝΔΡΟΓΙΓΑΝΤΑΣ. ΟΛΑΝ ΠΟΛΙΝ ΑΡΚΙΟΙ ΑΡΑΙ·
ΑΜΦΟΤΕΡΟΝ ΠΕΛΕΚΕΣΣΙ ΚΑΙ ΑΞΙΝΑΙΣΙΝ ΟΠΛΙΣΣΑΣ.
ΕΣ ΔΕ ΤΟ ΤΑΣ ΔΑΜΑΤΡΟΣ ΑΝΑΙΔΕΕΣ ΕΔΡΑΜΟΝ ΑΛΣΟΣ.
ΗΣ ΔΕ ΤΙΣ ΑΙΓΕΙΡΟΣ ΜΕΓΑ ΔΕΝΔΡΕΟΝ ΑΙΘΕΡΙ ΚΥΡΟΝ· κῦρον
ΤΩΙ Δ' ΕΠΙ ΤΑΙ ΝΥΜΦΑΙ ΠΟΤΙ ΤΩΝΔΙΟΝ ΕΥΙΟΩΝΤΟ. ἑψιόωντο
Α ΠΡΑΤΑ ΠΛΑΓΕΙΣΑ, ΚΑΚΟΝ ΜΕΛΟΣ ΙΑΧΕΝ ΑΛΛΑΙΣ·
ΗΙΣΘΕΤΟ ΔΑΜΑΤΗΡ ΟΤΙ ΟΙ ΞΥΛΟΝ ΙΕΡΟΝ ΑΛΓΕΙ·
ΕΙΠΕ ΔΕ ΧΩΣΑΜΕΝΑ· ΤΙΣ ΜΟΙ ΚΑΛΑ ΔΕΝΔΡΕΑ ΚΟΠΤΕΙ·
ΑΥΤΙΚΑ ΝΙΠΠΙΚΗ ΤΑΝ ΟΙ ΠΟΛΙΣ ΑΡΗΤΕΙΡΑΝ Nippica
ΔΑΜΟΣΙΑΝ ΕΣΤΑΣΑΝ, ΕΕΙΣΑΤΟ. ΓΕΝΤΟ ΔΕ ΧΕΙΡΙ ἀρήτειραν
ΣΤΕΜΜΑΤΑ ΚΑΙ ΜΑΚΩΝΑ· ΚΑΤΩΜΑΔΙΑΝ Δ' ΕΧΕ ΚΛΑΙΔΑ. μάκωνα
ΦΑ ΔΕ ΠΑΡΑΥΥΧΟΙΣΑ ΚΑΚΟΝ ΚΑΙ ΑΝΑΙΔΕΑ ΦΩΤΑ·
ΤΕΚΝΟΝ ΟΤΙΣ ΤΑ ΘΕΟΙΣΙΝ ΑΝΕΙΜΕΝΑ ΔΕΝΔΡΕΑ ΚΟΠΤΕΙΣ·
ΤΕΚΝΟΝ. ΕΛΙΝΝΥΣΟΝ ΤΕΚΝΟΝ ΠΟΛΥΘΕΣΤΕ ΤΟΚΕΥΣΙ. πολύθεστε
ΠΑΥΕΟ ΚΑΙ ΘΕΡΑΠΟΝΤΑΣ ΑΠΟΤΡΕΠΕ. ΜΗ ΤΙ ΧΑΛΕΦΘΗΙ
ΠΟΤΝΙΑ ΔΑΜΑΤΗΡ. ΤΑΣ ΙΕΡΟΝ ΕΚΚΕΡΑΪΖΕΙΣ. ἐκκεραΐζεις
ΤΑΝ Δ' ΑΡ ΥΠΟΒΛΕΥΑΣ ΧΑΛΕΠΩΤΕΡΟΝ Η Ε ΚΥΝΑΓΟΝ
ΩΡΕΣΙΝ ΕΝ ΤΜΑΡΙΟΙΣΙΝ ΥΠΟΒΛΕΠΕΙ ΑΝΔΡΑ ΛΕΑΙΝΑ.
ΩΜΟΤΟΚΟΣ. ΤΑΣ ΦΑΝΤΙ ΠΕΛΕΙΝ ΒΛΟΣΥΡΩΤΑΤΟΝ ΟΜΜΑ·
ΧΑΖΕΥ ΕΦΑ. ΜΗ ΤΟΙ ΠΕΛΕΚΥΝ ΜΕΓΑΝ ΕΝ ΧΡΟΙ ΠΑΞΩ·
ΤΑΥΤΑ Δ' ΕΜΟΝ ΘΑΣΕΙ ΣΤΕΓΑΝΟΝ ΔΟΜΟΝ. ΩΙ ΕΝΙ ΔΑΙΤΑΣ
ΑΙΕΝ ΕΜΟΙΣ ΕΤΑΡΟΙΣΙΝ ΑΔΗΝ ΘΥΜΑΡΕΑΣ ΑΞΩ·

Tmarij montes quos alij tomuros alij tomaros vocat presertim cū ingetho hā preter ceteras europe regiones cōfestī leons nutriri

Nemesis

ΕἾΠΕΝ Ὁ ΠΑΙ͂Σ· ΝΈΜΕΣΙΣ ΔῈ ΚΑΚᾺΝ ἘΓΡΆΨΑΤΟ ΦΩΝΆΝ·
ΔΑΜΆΤΗΡ Δ᾽ ἌΦΑΤΌΝ ΤΙ ΚΟΤΈΣΣΑΤΟ. ΓΕΊΝΑΤΟ Δ᾽ ΑΥ̓͂ΘΙΣ

Ζεὺς
ἴθματα

ἼΘΜΑΤΑ ΜῈΝ ΧΈΡΣΩΙ· ΚΕΦΑΛᾺ ΔΈ ΟἹ ἍΨΑΤ᾽ ὈΛΎΜΠΩΙ·
ΟἹ ΜῈΝ ἌΡ᾽ ἩΜΙΘΝΗ͂ΤΕΣ ἘΠΕῚ ΤᾺΝ ΠΌΤΝΙΑΝ ΕἾΔΟΝ
ἘΞΑΠΊΝΗΣ ἈΠΌΡΟΥΣΑΝ ἘΝῚ ΔΡΥΣῚ ΧΑΛΚῸΝ ἈΦΈΝΤΕΣ·
ἉΔ᾽ ἌΛΛΟΥΣ ΜῈΝ ἜΑΣΣΕΝ. ἈΝΑΓΚΑΊΑΙ ΓᾺΡ ἝΠΟΝΤΟ
ΔΕΣΠΟΤΙΚᾺΝ ὙΠῸ ΧΕΙ͂ΡΑ· ΒΑΡῪΝ Δ᾽ ἈΠΑΜΕΊΨΑΤ᾽ ἌΝΑΚΤΑ·
ΝΑῚ ΝΑῚ. ΤΕΎΧΕΟ ΔΩ͂ΜΑ ΚΎΟΝ ΚΎΟΝ. ᾯ ἘΝΙ ΔΑΙ͂ΤΑΣ
ΠΟΙΗΣΕΙ͂Σ· ΘΑΜΙΝΑῚ ΓᾺΡ ἘΣΎΣΤΕΡΟΝ ΕἸΛΑΠΊΝΑΙ ΤΟΙ·
ἉΜῈΝ ΤΟΣΣΕΊΠΟΙΣ᾽ ἘΡΥΣΊΧΘΟΝΙ ΤΕΥ͂ΧΕ ΠΟΝΗΡᾺ·

Erisichthó fame correptus insaciabili

ΑΥ̓ΤΊΚΑ ΟἹ ΧΑΛΕΠῸΝ ΤΕ ΚΑῚ ἌΓΡΙΟΝ ἜΜΒΑΛΕ ΛΙΜῸΝ·
ΑἼΘΩΝΑ Κ[Ρ]ΑΤΕΡΟΝ. ΜΕΓΑΛΗΙ Δ᾽ ἘΣΤΡΕΎΓΕΤΟ ΝΟΎΣΩΙ·
ΣΧΈΤΛΙΟΣ ὍΣΣΑ ΠΆΣΑΙΤΟ ΤΌΣΩΝ ἜΧΕΝ ἽΜΕΡΟΣ ΑΥ̓͂ΤΙΣ·
ΕἼΚΑΤΙ ΔΑΙ͂ΤΑ ΠΈΝΟΝΤΟ. ΔΥΏΔΕΚΑ Δ᾽ ΟἾΝΟΝ ἌΦΥΣΣΟΝ·
ΤΌΣΣΑ ΔΙΏΝΥΣΟΝ ΓΆΡ, Ἃ ΚΑῚ ΔΆΜΑΤΡΑ ΧΑΛΈΠΤΕΙ·
Κ[Α]Ι ΓᾺΡ ΤΑ͂Ι ΔΆΜΑΤΡΙ ΣΥΝΩΡΓΊΣΘΗ ΔΙΌΝΥΣΟΣ·
ΟΥ̓́ΤΕ ΜΙΝ ΕἸΣ ἘΡΆΝΩΣ ΟΥ̓́ΤΕ ΞΥΝΔΕΊΠΝΙΑ ΠΈΜΠΟΝ
ΑἸΔΌΜΕΝΟΙ ΓΟΝΈΕΣ. ΠΡΟΧΑΝᾺ Δ᾽ ΕΥ̓ΡΊΣΚΕΤΟ ΠΑ͂ΣΑ·

Itonias minerva
Ormenide

ἮΝΘΟΝ ἸΤΩΝΙΆΔΟΣ ΜΙΝ ἈΘΑΝΑΊΑΣ ἘΠ᾽ ἌΕΘΛΑ
ὈΡΜΕΝΊΔΑΙ ΚΑΛΈΟΝΤΕΣ. ἈΠ᾽ ΟΥ̓͂Ν ἨΡΝΉΣΑΤΟ ΜΆΤΗΡ.
ΟΥ̓Κ ἜΝΔΟΙ. ΧΘΙΖῸΣ ΓᾺΡ ἘΠῚ ΚΡΑΝΝΩ͂ΝΑ ΒΈΒΗΚΕ
ΤΕΛΘΟΣ ἈΠΑΙΤΗΣΩΝ ἙΚΑΤῸΝ ΒΌΑΣ. ἮΝΘΕ ΠΟΛΥΞὮ

Polyxo

In Cererē

ΜΑΤΗΡ ΑΚΤΟΡΙΩΝΟΣ ΕΠΕΙ ΓΑΜΟΝ ΑΡΤΥΕ ΠΑΙΔΙ·
ΑΜΦΟΤΕΡΟΝ ΤΡΙΟΠΑΝ ΤΕ ΚΑΙ ΥΙΕΑ ΚΙΚΛΗΣΚΟΥΣΑ·
ΤΑΝ ΔΕ ΓΥΝΑ ΒΑΡΥΘΥΜΟΣ ΑΜΕΙΒΕΤΟ ΔΑΚΡΥΧΕΟΥΣΑ·
ΝΕΙΤΑΙ ΤΟΙ ΤΡΙΟΠΑΣ, ΕΡΥΣΙΧΘΟΝΑ Δ' ΗΛΑΣΕ ΚΑΠΡΟΣ
ΠΙΝΔΟΝ ΑΝ' ΕΥΑΓΚΕΙΑΝ· Ο Δ' ΕΝΝΕΑ ΦΑΕΑ ΚΕΙΤΑΙ.
ΔΕΙΛΑΙΑ ΦΙΛΟΤΕΚΝΕ. ΤΙ Δ' ΟΥΚ ΕΨΕΥΣΑΟ ΜΑΤΕΡ.
ΔΑΙΝΥΕΝ ΕΙΛΑΠΙΝΑΣ ΤΙΣ· ΕΝ ΑΛΛΟΤΡΙΟΙΣ ΕΡΥΣΙΧΘΩΝ·
ΑΓΕΤΟ ΤΙΣ ΝΥΜΦΑΝ, ΕΡΥΣΙΧΘΟΝΑ ΔΙΣΚΟΣ ΕΤΥΨΕΝ·
Η ΕΠΕΣ' ΕΞ ΙΠΠΩΝ· Η ΕΝ ΟΘΡΥΙ ΠΟΙΜΝΙ' ΑΡΙΘΜΕΙ·
ΕΝΔΟΜΥΧΟΣ Δ' ΗΠΕΙΤΑ ΠΑΝΗΜΕΡΟΣ ΕΙΛΑΠΙΝΑΣΤΑΣ,
ΗΣΘΙΕ ΜΥΡΙΑ ΠΑΝΤΑ· ΚΑΚΑ Δ' ΕΞΑΛΛΕΤΟ ΓΑΣΤΗΡ
ΑΙΕΙ ΜΑΛΛΟΝ ΕΔΟΝΤΙ. ΤΑ Δ' ΕΣ ΒΥΘΟΝ ΟΙΑ ΘΑΛΑΣΣΗΣ
ΑΛΕΜΑΤΩΣ ΑΧΑΡΙΣΤΑ ΚΑΤΕΡΡΕΕΝ ΕΙΔΑΤΑ ΠΑΝΤΑ·
ΩΣ ΔΕ ΜΙΜΑΝΤΙ ΧΙΩΝ. ΩΣ ΑΕΛΙΩΙ ΕΝΙ ΠΛΑΓΓΩΝ.
ΚΑΙ ΤΟΥΤΩΝ ΕΤΙ ΜΕΙΖΩΝ ΕΤΑΚΕΤΟ· ΜΕΣΦ' ΕΠΙ ΝΕΥΡΑΙΣ
ΔΕΙΛΑΙΩΙ ΙΝΕΣ ΤΕ ΚΑΙ ΟΣΤΕΑ ΜΟΥΝΟΝ ΕΛΕΙΦΘΕΝ·
ΚΛΑΙΕ ΜΕΝ Α ΜΑΤΗΡ· ΒΑΡΥ Δ' ΕΣΤΕΝΟΝ ΑΙ ΔΥ' ΑΔΕΛΦΑΙ·
ΧΩ ΜΑΣΤΟΣ ΤΟΝ ΕΠΙΝΕ. ΚΑΙ ΑΙ ΔΕΚΑ ΠΟΛΛΑΚΙ ΔΩΛΑΙ.
ΚΑΙ Δ' ΑΥΤΟΣ ΤΡΙΟΠΑΣ ΠΟΛΙΑΙΣ ΕΠΙ ΧΕΙΡΑΣ ΕΒΑΛΛΕ·
ΤΟΙΑ ΤΟΝ ΟΥΚ ΑΙΟΝΤΑ ΠΟΣΕΙΔΑΩΝΑ ΚΑΛΙΣΤΡΕΩΝ·
ΨΕΥΔΟΠΑΤΩΡ. ΙΔΕ ΤΟΝΔΕ ΤΕΟΥ ΤΡΙΤΟΝ. ΕΙΠΕΡ ΕΓΩ ΜΕΝ
ΣΕΥ ΤΕ ΚΑΙ ΑΙΟΛΙΔΟΣ ΚΑΝΑΚΗΣ ΓΕΝΟΣ· ΑΥΤΑΡ ΕΜΕΙΟ
ΤΟΥΤΟ ΤΟ ΔΕΙΛΑΙΟΝ ΓΕΝΕΤΟ ΒΡΕΦΟΣ· ΑΙΘΕ ΓΑΡ ΑΥΤΟΝ
ΒΛΗΤΟΝ ΥΠ' ΑΠΟΛΛΩΝΟΣ ΕΜΑΙ ΧΕΡΕΣ ΕΚΤΕΡΕΙΞΑΝ·

Actorid

πλαγγων

Triopas

Triopas neptunum & canaces eoli f.

βουβρωσις

ΝΥΝ ΔΕ ΚΑΚΑ ΒΟΥΒΡΩΣΤΙΣ ΕΝ ΟΦΘΑΛΜΟΙΣΙ ΚΑΘΗΤΑΙ·
Η ΟΙ ΑΠΟΣΤΑΣΟΝ ΧΑΛΕΠΑΝ ΝΟΣΟΝ, ΗΕ ΜΙΝ ΑΥΤΟΣ
ΒΟΣΚΕ ΛΑΒΩΝ· ΑΜΑΙ ΓΑΡ ΑΠΗΡΕΙΚΑΝΤΙ ΤΡΑΠΕΖΑΙ·
ΧΗΡΑΙ ΜΕΝ ΜΑΝΔΡΑΙ· ΚΕΝΕΑΙ ΔΕ ΜΟΙ ΑΥΛΙΕΣ ΗΔΗ
ΤΕΤΡΑΠΟΔΩΝ· ΗΔΗ ΓΑΡ ΑΠΗΡΝΗΣΑΝΤΟ ΜΑΓΕΙΡΟΙ·
ΑΛΛΑ ΚΑΙ ΟΥΡΗΑΣ ΜΕΓΑΛΑΝ ΥΠΕΛΥΣΑΝ ΑΜΑΞΑΝ·
ΚΑΙ ΤΑΝ ΒΩΝ ΕΦΑΓΕ ΤΑΝ ΕΣΤΙΑ ΕΤΡΕΦΕ ΜΑΤΗΡ·
ΚΑΙ ΤΟΝ ΑΕΘΛΟΦΟΡΟΝ ΚΑΙ ΤΟΝ ΠΟΛΕΜΗΙΟΝ ΙΠΠΟΝ·
ΚΑΙ ΤΑΝ ΑΙΛΟΥΡΟΝ ΤΑΝ ΕΤΡΕΜΕ ΘΗΡΙΑ ΜΙΚΚΑ·

αἴλουρος vul go gato

ΜΕΣΦΟΤΕ ΜΕΝ ΤΡΙΟΠΑΟ ΔΟΜΟΙΣ ΕΝΙ ΧΡΗΜΑΤΑ ΚΕΙΤΟ,
ΜΩΝΟΙ ΑΡ ΟΙΚΕΙΟΙ ΘΑΛΑΜΟΙ ΚΑΚΟΝ ΗΠΙΣΤΑΝΤΟ·
ΑΛΛΟΤΕ ΤΟΝ ΒΑΘΥΝ ΟΙΚΟΝ ΑΝΕΞΗΡΑΙΝΟΝ ΟΔΟΝΤΕΣ,
ΚΑΙ ΤΟΤΟ ΤΩ ΒΑΣΙΛΗΟΣ ΕΝΙ ΤΡΙΟΔΟΙΣΙ ΚΑΘΗΣΤΟ·
ΑΙΤΙΖΩΝ ΑΚΟΛΟΥΣ ΤΕ ΚΑΙ ΕΚΒΟΛΑ ΛΥΜΑΤΑ ΔΑΙΤΟΣ·
ΔΑΜΑΤΕΡ, ΜΗ ΤΗΝΟΣ ΕΜΙΝ ΦΙΛΟΣ ΟΣ ΤΟΙ ΑΠΕΧΘΗΣ
ΕΙΗ. ΜΗ ΔΟΜΟΤΟΙΧΟΣ· ΕΜΟΙ ΚΑΚΟΓΕΙΤΟΝΕΣ ΕΧΘΡΟΙ·
ΕΙΠΑΤΕ ΠΑΡΘΕΝΙΚΑΙ ΚΑΙ ΕΠΙΦΘΕΓΞΑΣΘΕ ΤΕΚΟΥΣΑΙ·
ΔΑΜΑΤΕΡ ΜΕΓΑ ΧΑΙΡΕ· ΠΟΛΥΤΡΟΦΕ ΠΟΥΛΥΜΕΔΙΜΝΕ·
ΧΩΙΣΑΙ ΤΟΝ ΚΑΛΑΘΟΝ ΛΕΥΚΟΤΡΙΧΕΣ ΙΠΠΟΙ ΑΓΟΝΤΙ·
ΤΕΣΣΑΡΕΣ ΩΣ ΑΜΙΝ. ΜΕΓΑΛΑ ΘΕΟΣ ΕΥΡΥΑΝΑΣΣΑ·
ΛΕΥΚΟΝ ΕΑΡ ΛΕΥΚΟΝ ΔΕ ΘΕΡΟΣ ΚΑΙ ΧΕΙΜΑ ΦΕΡΟΙΣΑ·
ΗΞΕΙ ΚΑΙ ΦΘΙΝΟΠΩΡΟΝ, ΕΤΟΣ ΔΕΙΣ ΑΛΛΟ ΦΥΛΑΞΕΙ·
ΩΣ ΔΑΠΕΔΙΛΩΤΟΙ ΚΑΙ ΑΝΑΜΠΥΚΕΣ ΑΣΤΥ ΠΑΤΕΥΜΕΣ·
ΩΣ ΠΟΔΑΣ ΩΣ ΚΕΦΑΛΑΣ ΠΑΝΑΠΗΡΕΑΣ ΕΞΟΜΕΣ ΑΙΕΙ·

In Cererē

ὩΣ ΑἹ ΛΙΚΝΟΦΌΡΟΙ ΧΡΥΣΩ͂Ι ΠΛΈΑ ΛΊΚΝΑ ΦΈΡΟΝΤΙ
ὩΣ ἌΜΜΕΣ ΤῸΝ ΧΡΥΣῸΝ ἈΦΕΙΔΈΑ ΠΑΣΣΑΊΜΕΣΘΑ·
ΜΈΣΦΑ ΤᾺ ΤΑ͂Σ ΠΌΛΙΟΣ ΠΡΥΤΑΝΉΪΑ ΤᾺΣ ἈΤΕΛΈΣΤΑΣ·
ΤᾺΣ ΔῈ ΤΕΛΕΣΦΟΡΊΑΣ, ΠΟΤῚ ΤᾺΝ ΘΕῪΝ ἌΧΡΙΣ ὉΜΑΡΤΕΙ͂Ν.
ΑἹ ΤΙΝΕΣ ἙΞΉΚΟΝΤΑ ΚΑΤΏΤΕΡΑΙ ΑἹ ΤΕ ΒΑΡΕΙ͂ΑΙ·
ΧἌ ΤΙΣ ἘΛΕΙΘΥΊΑΙ ΤΕΊΝΕΙ ΧΈΡΑ· ΧἌ ΤΙΣ ἘΝ ἌΛΓΕΙ·
ὩΣ ἍΛΙΣ ὩΣ ΑὐΤᾺΝ ἹΚΑΝῸΝ ΓΌΝΥ. ΤΑΙ͂ΣΙ ΔῈ ΔΗΏ
ΔΩΣΕΙ͂ ΠΆΝΤ᾽ ἘΠΊΜΕΣΤΑ. ΚΑῚ ὩΣ ΠΟΤῚ ΝΗῸΝ ἽΚΩΝΤΑΙ·
ΧΑΙ͂ΡΕ ΘΕᾺ· ΚΑῚ ΤΆΝΔΕ ΣΆΩ ΠΌΛΙΝ. ἘΝ Τ᾽ ὉΜΟΝΟΊΑΙ·
ἘΝ Τ᾽ ΕὐΗΠΕΛΊΑΙ. ΦΈΡΕ Δ᾽ ἈΓΡΌΘΙ ΝΌΣΤΙΜΑ ΠΆΝΤΑ·
ΦΈΡΒΕ ΒΌΑΣ. ΦΈΡΒΕ ΜΑ͂ΛΑ· ΦΈΡΕ ΣΤΆΧΥΝ. ΟἿΣΕ ΘΕΡΙΣΜῸΝ·
ΦΈΡΒΕ ΚΑῚ ΕἸΡΆΝΑΝ. ἽΝ᾽ ὋΣ ἌΡΟΣΕ ΚΕΙ͂ΝΟΣ ἈΜΆΣΣΕΙ·
ἼΛΑΘΊ ΜΟΙ ΤΡΊΛΛΙΣΤΕ ΜΈΓΑ ΚΡΕΊΟΥΣΑ ΘΕΆΩΝ·

ΤΈΛΟΣ ΤΩ͂Ν ΕὙΡΙΣΚΟΜΈΝΩΝ ΚΑΛΛΙΜΆ-
ΧΟΥ ὝΜΝΩΝ·

Versus . 1090

## ΕἸΣ ΚΑΛΛΊΜΑΧΟΝ·

ἼΧΝΙΑ ΜΑΣΤΕΎΩΝ, ῬΥΘΜΊΣΣΑΤΟ ΣΩ͂ΜΑ ΠΈΛΩΡΟΝ
ΠΆΝΣΟΦΟΣ ἩΡΑΚΛΈΟΥΣ ΠΡΊΝ ΠΟΤΕ ΠΥΘΑΓΌΡΗΣ·
ΔΟΥ͂ΡΑΣ ἈΛΕΞΆΝΔΡΟΥ Δ᾽ἽΠΠΟΥ ΠΑΡᾺ ΠΊΟΝΙ ΝΗΩ͂Ι
ΔΗΡῸΝ ἜΗΝ, ΜΕΓΆΛΗΣ ΜΝΗΜΌΣΥΝΟΝ ΠΑΛΆΜΗΣ·
ΚΑΊ ΣΕΟ Δ᾽ΟἿΑ ΛΈΟΝΤΟΣ ὌΝΥΞ, ΤΌΔΕ ΚΑΛΛΊΜΑΧ᾽ἭΡΩΣ
ΛΕΊΨΑΝΟΝ ΕὐΎΜΝΩΝ ΛΑΜΠΡῸΝ ἜΔΕΙΞΕ ΝΌΟΝ·
ὩΣ ΓΌΝΙΜΟΝ· ΣΟΦΊΗΝ ΠΙΣΤΟΎΜΕΝΟΝ· ΕἸΣΊΔΕ ΤΈΧΝΗΝ·
ἈΈΝΑΟΝ ΦΩΝῊΝ. ἘΝΘΕΟΝ ἉΡΜΟΝΊΗΝ·
ὈΚΤΆΚΙΣ ΕἸ ΔΈΚΑΤΟΝ ΣΤΊΧΑ ΒΊΒΛΩΝ ὬΛΕΣΕΝ ΑἸΏΝ
ΛΕΥΓΑΛΈΟΣ· ΒΑΙῸΝ ΖΕῪΣ ΤΌΔ᾽ἜΝΕΥΣΕ ΜΈΛΟΣ
ἈΡΧΈΤΥΠΟΝ ΤΕΛΈΘΕΙΝ ΘΕΙ͂ΟΝ ΓΈΝΟΣ ἪΝ ΤΙΣ ἈΕΊΔΗΙ
ΜΟΡΦΗ͂Σ ὩΣ ΠΛΆΣΤΑΙ ΚΥΆΝΕΟΝ ΒΛΈΦΑΡΟΝ·
ΜΉ ΠΟΤΕ Δ᾽ἘΞΆΡΧΟΝΤΟΣ ἜΟΙ ΣΠΆΝΙΣ ὙΜΝΟΠΌΛΟΙΣΙ
ΜΟΛΠΗ͂Σ, ΧΑΛΚΟΓΡΆΦΩΝ ΞΥΝῸΝ ἜΘΗΚΕ ΤΈΧΝΗΝ·

ΛΑΣΚΆΡΕΩΣ·

Adeunda epigrammata greca ubi hoc invenies
x 1. in templo dianae ephesi e condito ab hippone amazone auctore callimacho in hymno dianae
λέοντος ὄνυξ legendus Lucianus in dialogo ἑρμότιμος ἢ περὶ αἱρέσεων

alludit ad illud homericum ἢ καὶ κυανέῃσιν ἐπ᾽ ὀφρύσι

# ΣΧΟΛΙΑ ΠΑΛΑΙΑ ΤΩΝ ΚΑΛΛΙΜΑΧΟΥ ΥΜΝΩΝ·

## ΕΙΣ ΤΟΝ ΔΙΟΣ·

Ζηνὸς ἔοι· πότερον ζηνὸς σπονδῇσιν, ἢ ζηνός τι λώϊον ἀείδειν· Πηλογόνων· τῶν γιγάντων· παρὰ τὸ ἐκ πηλοῦ γενέσθαι· τουτέστι τῆς γῆς. Δικταῖον· κρῆτα. δίκτη γὰρ ὄρος κρήτης. Λυκαῖον· ἀρκάδα. λύκαιον ἀρκαδίας ὄρος. Ἀμφήριστον· ἀμφίλογον· Ἰδαίοισιν· ἴδη ὄρος κρήτης καὶ φρυγίας. νῦν δὲ τὸ κρήτης φησί. Πότεροι· ἐν ἤθει ἀναγνωστέον τὸ πότεροι· Κρῆτες ἀεί· παροιμία ἐστὶ τὸ κρητίζειν ἐπὶ τοῦ ψεύδεσθαι. ἀπὸ ἰδομενέως τοῦ κρητὸς ῥηθεῖσα· ὃς λαχὼν μερίσαι τοῖς ἕλλησι τὰ λάφυρα τῆς ἰλίου, τὰ κρείττω ἑαυτῷ περιεποιήσατο· Τάφον· ἐν κρήτῃ ἐπὶ τῷ τάφῳ τοῦ μίνωος ἐπεγέγραπτο μίνωος τοῦ διὸς τάφος. τῷ χρόνῳ δὲ τὸ τοῦ μίνωος ἀπηλείφθη. ὥστε περιλειφθῆναι διὸς τάφος. ἐκ τούτου οὖν ἔχειν λέγουσι κρῆτες τὸν τάφον τοῦ διός. ἢ ὅτι κορύβαντες λαβόντες αὐτὸν ἐπὶ τῷ κρύψαι διὰ τὸν κρόνον, προσεποιήσαντο τάφον αὐτῷ· Παρρασίῃ· ὄρος ἀρκαδίας τὸ παρράσιον ἀπὸ παρράσου τοῦ λυκάονος. Ἑρπετόν· οὕτω ἑρπετὸν οὕτω γυνὴ χρῄζουσα τῶν τοκετῶν, ἐπιμίσγεται· ἢ οὕτως· οὐ χρῄζει εἰληθυίας τουτέστι γεννήσεως· ὅτι πᾶν ζῶον ὅσιον ἐκεῖ μεμολυσμένον ἄγονον ἐγίνετο· καὶ σκιὰν τὸ σῶμα αὐτοῦ οὐκέτι ἐποίει· Ἀπιδανῆες· οἱ ἀρχαῖοι ἀρκάδες. Λύματα· καθάρματα· τὸ δὲ, χυτλώσαιτο, ἀντὶ τοῦ ἀπολούσαιτο· Ἐρύμανθος δὲ ποταμὸς ἀρκαδίας· Ὅτε λύσατο· ὕστερον μετὰ τὸ τεκεῖν τὴν ῥέαν· Σαρωνίδας δρῦς· παρὰ τὸ σεσηρότα καὶ συνεστραμμένον τὸν φλοιὸν ἔχειν· τὸ δὲ ἤειρον καὶ ὤκχησων ἀντὶ τοῦ ἐβάστασε. Καρίωνος· λείπει καὶ ὑπέρ· πολλάκις δ' ὑπὲρ τοῦ καρίωνος ἑρπετὰ τοὺς



Dicte mōs crete

Ida crete mō[s]

κρητίζειν ...

Parrhasu[s] mo[ns]

Parrhasus lycaonis

χυτλώσαιτο

Erymathus fl. arcadie

ἐν ἤθει

φωλαιοὺς ἐποίησαν. Κινώπετα· τὰ θηρία, οἱονεὶ κινώπεδα· παρὰ τὸ ἐν τῷ ἐδάφει κινεῖσθαι. τὸ δὲ νίσετο, ἀντὶ τοῦ ἤρχετο, ἐπορεύετο. Κράθιν· Κράθις ποταμὸς Ἀρκαδίας· Πολύστιον δὲ τὸν πολύψηφον ἢ πολυπάτητον. Μετώπην, ποταμὸς Ἀρκαδίας. Τόθι χρῶτα· τὸν σὸν χρῶτα ὦ ἄνα ἀπερρώσω φαιδρύνασα· Νέδη· ὄνομα νύμφης ὠκεανίνης θρεψαμένης τὸν Δία. Φιλύρην τε. μήτηρ Χείρωνος τοῦ κενταύρου. Μαιώσαντο. ἔθρεψαν. Καυκώνων. ὄρος Ἀρκάδων ὁ Καύκων. Λέπριον δὲ, ἀπὸ Λεπρέα τοῦ Ποσειδῶνος. ὃς προσκαλεσάμενος εἰς ἀδηφαγίαν Ἡρακλέα, καὶ ὑπ' ἐκείνου ἡττηθεὶς ἐφονεύθη·

*Lepreas nepti f.*

Λυκαονίης ἄρκτοιο· τῆς πρώην λεγομένης Καλλιστοῦς. Λυκάονος δὲ θυγατρὸς ἐξ ἧς καὶ Διὸς μεταβληθέντος εἰς Ἄρτεμιν, γεννᾶται ὁ Ἀρκάς· ἀφ' οὗ οἱ Ἀρκάδες. Θενάς· Θεναὶ πόλις καὶ ἄλσος. Προσεπηχύναντο· εἰς τοὺς πήχεις ἔλαβον. Τουτάκι· τοτηνικαῦτα. Κύδωνος. ἔθνος Κρήτης. Ἀδρήστεια ἀδελφὴ Κουρήτων. Λίκνῳ ἔνι· ἐν γὰρ λίκνοις τουτέστι κοσκίνοις τὸ παλαιὸν κατεκοίμιζον τὰ βρέφη· πλοῦτον καὶ καρποὺς οἰωνιζόμενοι. λίκνον οὖν τὸ κόσκινον ἢ τὸ κουνίον, ἐν ᾧ τὰ παιδία τιθέασιν.

*Historia*

Ἀμαλθείης. οὕτως ἐκαλεῖτο ἡ αἲξ ἡ τὸν Δία θρέψασα. λέγεται δὲ ἀπὸ μὲν τοῦ ἑνὸς κέρατος, ἀμβροσίαν ῥεῖν· ἀπὸ δὲ τοῦ ἄλλου νέκταρ. Ἔβρως· ἔφαγες. Οὖλα· καλὰ κλῆρον· ὑγιεινῶς· Περὶ πρύλιν· ἐνόπλιον· Ἐξαπιναῖα· τουτέστιν ἐξαίφνης ἐγένετο ἡ Ἴδη πλέα μέλιτος· Ἐπιδαίσιον· μεμερισμένον· Δημαιοί· οἱ παλαιοί· Τίς δ' ἐκεῖ π' οὐλύμπῳ τε· τίς δ' ἄν, φρόνιμος ἐπὶ Ὀλύμπῳ καὶ

*Amalthea*

ἄλλῃ κληρωθῆναι ἀνάσχοιτο. Νενίκλος δὲ, ὁ ματαιόφρων. καὶ ἐστερημένος τοῦ αἰόλλειν καὶ κινεῖν τὸν νοῦν. Ἐπ' ἴσαις γὰρ ὁ κλῆρος ἐπὶ ἴσων πραγμάτων χωρεῖ. ὁ οὐρανὸς δὲ καὶ ὁ ᾅδης πλεῖστον διαφέρουσι. Ψευδοίμην ἀΐοντος ἅ κεν πεπίθοιεν ἀκουήν. λοιπὸν λέγων. τὸ δὲ πεπίθοιεν ἀντὶ τοῦ πείσειαν. Ἐσσῆνα. ἐσσὴν κυρίως ὁ βασιλεὺς τῶν μελισσῶν. νῦν δὲ ὁ τῶν ἀνδρῶν. Εἴσαο δίφρου. τὸ κράτος πλησίον ἵδρυσας τοῦ δίφρου. Θήκαο δ' οἰωνῶν. τὸ αὐτόν. Εἵλεο δ' αἰζηῶν. νῦν καθόλου λέγει τῶν ἀνθρώπων. Ἐμπεράμους. τοὺς ἐμπείρους. Γεωμόρους. ὁ γεωργός. Ὑδείομεν. λέγομεν. Ἐπακτῆρας. κυνηγέτας. Χιτώνης. Νηλεὺς ὁ Κόδρου ἀποικίαν θέμενος ἀπὸ Ἀθηνῶν, ἔλαβε χρησμὸν ἐγείρασθαι ξόανον τῇ Ἀρτέμιδι ἀπὸ παγκάρπων ξύλων. καὶ διὰ τῆς ἑορτῆς τελουμένης τῇ Ἀρτέμιδι ἐν τῇ Χιτώνῃ. ἔστι δὲ δῆμος Ἀττικῆς, ἀπελθὼν, εὗρε δρῦν πάμπολυν καὶ διάφορον ἔχουσαν ἠρτημένον καρπόν. καὶ ἐκ τούτου ἐποίησεν ἄγαλμα τῇ θεᾷ. καὶ οὕτω μετῴκησαν ἐν Μιλήτῳ. ἀπὸ τοῦ δήμου οὖν ἔσχε τὴν ὀνομασίαν ἡ Ἄρτεμις. ἢ ὅτι τικτομένων τῶν βρεφῶν, ἀνετίθεσαν τὰ ἱμάτια τῇ Ἀρτέμιδι. Historia

Λάξιν. λαχμόν. κλήρωσιν. Ἄκρῃς ἐν πολίεσσιν. ἐν ταῖς ἀκροπόλεσι καθέζῃ ὁρῶν τὰ δίκαια. Ῥυηφενίην. πλοῦτον. σύγκειται δὲ ἡ λέξις, παρὰ τὸ ῥύσιν καὶ ἄφενος. τουτέστι τὴν τοῦ πλούτου ῥύσιν. Ἡμετέρῳ μεδέοντι. περὶ τοῦ Πτολεμαίου ταῦτα λέγει. Οἱ δέ. δηλαδὴ οἱ ἄλλοι βασιλῆες. Πλήμνῃ. ἐνιαυτῷ. Ἄνυν. ἄνυσιν τελειώσιν. Αὐτός. ὦ Ζεῦ. Οὔτ' ἀρετῆς. καὶ Ἡσίοδος. πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ. Ptolemaeus

Οἷον ὁ τὠπόλλωνος. ἀντὶ τοῦ οἷον ὡς ὅπως. ἔστι δὲ θαυμασμός. λέγεται δὲ ἐπὶ τῶν μαντευομένων τὰ θεῖα καὶ ἐπιδημεῖν μὴ καὶ ἀποδημεῖν. καὶ ὅταν μὲν ἐπιδημῶσι τὰς μαντείας ἀληθεῖς εἶναι. ὅταν δὲ ἀποδημῶσι ψευδεῖς. ὡς γοῦν ἐπιδημοῦντος τοῦ θεοῦ, ταῦτά φησιν ὁ Καλλίμαχος. Αὐτοὶ νῦν. ἀντὶ τοῦ αὐτόματοι. Αὐταὶ δέ. αὐτόματοι. Οὐ χοράας ἐπένωσεν ὁ δήλιος. δεικτικῶς λέγεται. ὅτι παρὰ τῷ δένδρῳ ἐγέννησεν ἡ λητὼ τὸν ἀπόλλωνα. Ὁ δὲ κύκνος ὄρνεον ἱερὸν ἀπόλλωνος. Ἀνακλίνεσθε. Ὅμηρος ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος ἠδ' ἐπιθεῖναι. Εἰ τελέειν μέλλουσι γάμον. εἰ μέλλουσι καὶ γάμου ἐντὸς γενέσθαι καὶ πολιᾶσαι. καὶ τὸν ἀκειρεκόμης ὁ ἀπόλλων. Ἑστήξειν. ἀπὸ τοῦ ἵστημι παρακείμενος, ἕστηκα. ἀπὸ τούτου ποιοῦσιν οἱ συρακούσιοι ἐνεστῶτα ἑστήκω. οὗ ὁ μέλλων ἑστήξω. καὶ τὸ ἀπαρέμφατον ἑστήξειν. Χέλυς. ἡ κιθάρα. Εὐφημεῖ. ἡσυχάζει. γαληνιᾷ. Κλείουσιν. ὑμνοῦσι. Κινύρεται. θρηνεῖ κλαίει. Αἴλινα. ἤτοι θρηνητικά. Ἀναβάλλεται. ὑπερτίθεται. Βασιλῆι. τῷ πτολεμαίῳ τῷ εὐεργέτῃ. διὰ δὲ τὸ φιλόλογον αὐτὸν εἶναι ὡς θεὸν τιμᾷ. Τό τε ἐνδυτόν, ἥ τε ἐπιπορπίς. ἐνδυτὸν τὸ ἱμάτιον. ἐπιπορπὶς δὲ, ἡ πορόνη. Τό τ' ἄεμμα. ἡ νευρά. Παρὰ τὸ ἑκατέρωθεν δεδέσθαι. λύκτος δέ ἐστι πόλις κρήτης. Πυθῶνί κε τῶκ μήραιο. Ὅμηρος οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. Φοίβου ἀπόλλωνος πυθοῖ ἔνι πετρηέσσῃ. Θηλείαις. ἁπαλαῖς. Χνόος. ψόφος. ξυσμός.

ἐπιδημεῖν
ἀποδημεῖν

Cygnus auis sacra apollini

ἀπὸ τοῦ ἵστημι παρακείμενος ἕστηκα ἑστήκω

Ptolemeus euergetes

ἐνδυτ
ἐπιπορπὶς
Lyctos

λαίβουσιν ἔλαια. σημείωσαι ὅτι τὸ ἔλαια πληθυντικῶς πα ρ' οὐδαμοῦ ἄλλῳ εὕρηται. Πανάκειαν· τὴν ἴασιν. Ἀμφιλαφής· ἐστὶ γὰρ τοξότης. ἀοιδός. μάντις. ἰατρός. καὶ ποιμήν. Πρώκες· δρόσοι σταγόνων. Ἀκήρια δὲ, ἀπαθῆ ἐμοὶ τὰ νοσήματα. ἢ μᾶλ λον, ἄφθαρτα. καὶ ἄνοσα πάντα γίνεται. Κοίμου δὲ θριαί. μαντικαὶ ψῆφοι εἰσὶν αἱ θριαί. λέγεται δὲ αὐτὰς εὑρῆσθαι ὑπὸ τινῶν τριῶν νυμφῶν. διὰ τοῦτο καὶ θριαὶ ὠνομάσθησαν· οἱονεὶ τριαί. Ἐξότ' ἐπ' ἀμφρυσῷ. ἀμφρυσὸν οἱ μὲν ποταμὸν θεσ σαλίας. οἱ δὲ, πόλιν. Ἠιθέου· ἀγάμου ἄπαιδος. Ζευγίτι δας δὲ τὰς ὑπὸ ζυγὸν ἀγομένας. Βουβόσιον· ὁ τόπος ἔνθα οἱ βόες νέμονται. Τὸ δὲ ἐπιμηλάδας ἀντὶ τοῦ αἱ μετὰ τῶν μήλων νεμόμεναι. καὶ γὰρ καὶ τὰς αἶγας μῆλα λέγουσιν. ὡς ὅμη ρος ἐπεξηγεῖται. μῆλ' οἰές τε καὶ αἶγες ἰαυεσκον. εἰ δὲ μονομηλάδες γράφεται ἀντὶ τοῦ θήλειαι ἐστίν. Ἄκυθοι ἄγονοι. κεῦθος γὰρ τὸ κύημα. Καλὴ ἐν ὀρτυγίῃ περιηγέος· κυκλο τεροῦς. οὕτω γὰρ στρογγύλη λίμνη ἐν ὀρτυγίᾳ καλεῖται. ὀρτυ γία δὲ ἡ δῆλος, ἀπὸ τοῦ τὴν λητὼ εἰς ὄρτυγα μεταβληθεῖσαν εἰς τὴν δῆλον ἐλθεῖν φεύγουσαν τὴν ἥραν. Κυνθιάδων· κύνθος ὄ ρος τῆς δήλου. Εὔφρασε βάττῳ· λέγεται ὅτι οὗτος ὁ βάττος ἄφωνος ἦν. ἀπελθὼν οὖν εἰς τὸ τοῦ ἀπόλλωνος ἱερὸν ἐπὶ τῷ τὸν θεὸν ἐρωτῆσαι περὶ τῆς φωνῆς. ὁ δὲ ἔχρησεν αὐτῷ οὐκ ἔτι πε ρὶ φωνῆς, ἀλλὰ περὶ μετοικείας. καὶ ὁ βάττος πεισθεὶς τῷ χρησ μῷ, ἦλθεν εἰς τὴν λιβύην. λέγεται δὲ εἶναι πολλοὺς λέοντας ἐν ταύτῃ τῇ χώρᾳ. ἐπιδημήσας οὖν ὁ βάττος, καὶ λέοντα αἰφνι δίως θεασάμενος, τῇ τοῦ φόβου ἀνάγκῃ βιασθεὶς φθέγξασθαι.



ἔλαια, πλοῦ δ' ἐνὶ ἄλλῳ εὕ ρηται

θριαί

Amphrysus fl. uel urbs

τὰς αἶγας μῆ λα λέγουσι

Ortygia un de [illegible] delos

Cynthos

De batto mu to quomodo locutus est

διέρρηξε τὴν φλέβα ἥτις τῆς ἐκείνου φωνὴν ἐπεῖχε. καὶ οὕτω φω
νήεις ἐγένετο. καὶ τὴν κυρήνην ἔκτισεν, ὅθεν ἐστὶν ὁ καλλίμαχος.
Κόραξ ἡγήσατο. ὡς ἀνακείμενος τῷ ἀπόλλωνι ὁ κόραξ.
Ἡμετέροις βασιλεῦσι. τοῖς πτολεμαίοις. Βοηδρόμιον κα-
λέουσι. πολέμου ἐπελθόντος τοῖς ἀθηναίοις ἔχρησεν αὐτοῖς ὁ
θεὸς, μετὰ βοῆς ἐπιθέσθαι τοῖς πολεμίοις. οἱ δὲ τοῦτο ποιή
σαντες ἐνίκησαν. ὅθεν βοηδρόμιος ἀπόλλων. Καρνεῖον. ἀ
πὸ κάρνου τοῦ μάντεως τοῦ ἀναιρεθέντος ὑπὸ ἀλήτου. ὃς ἦν τῶν
ἡρακλειδῶν. ὀργισθεὶς οὖν ὁ ἀπόλλων λοιμὸν ἐνέβαλε. Ἐκ τοῦ
γένους οἰδιπόδαο. οἰδίπους. οὗ πολυνείκης. οὗ θέρσανδρος. οὗ
αὐτεσίων. οὗ τισαμενός. οὗ θήρας. ὃς ἀπῴκησεν εἰς θήραν τὴν
νῆσον. τὴν νῦν οὕτω κληθεῖσαν. Οὖλος ἀριστοτέλης. ὁ αὐτὸς καὶ
βάττος λέγεται. Οὖλος δὲ ὁ ὑγιής. ὡς παρὰ τὴν φωνήν. καὶ γὰρ
ὁ δοθεὶς αὐτῷ χρησμὸς, τοῦτο παρεμφαίνει. Βάττ' ἐπὶ φω-
νὴν ἦλθες. ἄναξ δέ σε φοῖβος ἀνώγει Ἐς λιβύην ἐλθεῖν
μηλοτρόφον οἰκιστῆρα. Ἀσβυστίδα δὲ, τὴν λευκὴν λέγει. παρὰ
τὴν ἄσβεστον. τοιαύτη γὰρ ἡ λιβύη λευκόγειος. Τελεσφορίην.
ἑορτὴν θυσίαν. Κρόκον. κρόκος τὸ ἄνθος παρὰ τὸ ἐν κρύει βάλ
λειν. Ζωστῆρες. περιφραστικῶς οἱ πολεμικοί. Ὠρχήσαν
το μετὰ ξανθῇσι. ὡς ἐπιτελούντων ἐν τῇ λιβύῃ ἑορτὴν καρ
νείῳ ἀπόλλωνι. Τέθμιαι. νόμιμοι. ὡρισμέναι. κυρῆς ἐδύ
ναντο. κρήνη ἐν κυρήνῃ. Δωριέας δὲ, τοὺς ἡρακλείδας λέγει.
τοὺς ἀπὸ σπάρτης μετοικίσαντας, εἰς θήραν. καὶ ἀπὸ θήρας
εἰς κυρήνην. Ἀζιλίν. ὄρος καὶ ποταμὸς λιβύης. Τοὺς μὲν
ἄναξ. ἤγουν ὁ ἀπόλλων. Στὰς ἐπὶ μυρτούσης κορατώδους.

βοηδρόμιος πόθεν ὁ φοῖβος

Carneus apollo unde

Oedipus
Polynices
Thersander
Autesió
Tisamenus
Theras

ἀσβυστίδα

Carnei apollinis festum in africa celebrabatur

AZilis mons & fl. aphrice

μύρτουσα ὄρος λιβύης. Κερατώδεος δὲ τῆς κέρατα ἐχού
σης. ἤτοι ἀκρωρείας. φαίνεται δὲ ἡ κυρήνη φονεύσασα ἐν τῇ
λιβύῃ λέοντα τῖμα βλάπτοντα τὰς βοῦς τοῦ εὐρυπύλου. ἦν δὲ
αὕτη κυνηγέτις θυγάτηρ Ὑψέως. ἡ ὑψηίς ἡ κυρήνη. Ἁρπακτύ
ος. τῇ κυρήνῃ κυνηγετούσῃ ἐν ὄρει θεσσαλίας τῷ πηλίῳ,
συνεκαθεύδησεν ἀπόλλων. ἐξ ἧς τίκτεται ὁ ἀρισταῖος. Οὐκ ἄ
γαμαι τὸν ἀοιδὸν, ὃς. ἐγκαλεῖ διὰ τοῦτο τοὺς σκώπτοντας αὐ
τὸν, μὴ δύνασθαι ποιῆσαι μέγα ποίημα. ὅθεν ἠναγκάσθη
ποιῆσαι τὴν ἑκάλην. Ἀσσυρίου ποταμοῖο μέγας. τὸν τῶν
περσῶν λέγει. τὸν καλούμενον εὐφράτην.

Myrtusa mons aphrice — Cyrene hypsei — Cyrene venatrix — Hecale magnum callimachi poema — Euphrates fl.

## ΕΙΣ ΤΟΝ ΑΡΤΕΜΙΔΟΣ.

Ἄρτεμιν ὅ γὰρ ἐλαφρὸν ἀειδόντεσσι. τὸ ἑξῆς ἄρτεμιν
ὑμνοῦμεν ἀρχόμενοι. Ἐψιάασθαι. διαπαίζειν. παί
ζειν. Ἐφεζομένη γονάτεσσιν. ὅμηρος. Οὐδέ τί μιν παῖ
δες ποτὶ γούνασι παππάζουσιν. Ἔα πάτερ. τὸ ἔα δασυ-
νόμενον καὶ ὀξυνόμενον, τὰ ἴδια ἢ τὰ ἀγαθὰ δηλοῖ. ψιλούμε
νον δὲ καὶ παροξυνόμενον, τὸ συγχώρει καὶ δίδου. καὶ τὸ ὑπήρ
χον δὲ, ἃ τότε κοῦρος ἔα. Ἀμμα ἡ μαῖα. Ἀλλὰ φαεσφο
ρίην τε. ἢ ὅτι λαμπαδοῦχος. ἡ αὐτὴ γὰρ τῇ ἑκάτῃ. ἢ ὅτι τοὺς
μαινομένους προάγει εἰς φῶς. Λεγνωτόν. τὸ ἔχον ὤ
αν. τουτέστι τὸ ἀπόληγον τοῦ ἱματίου. λέγναι γὰρ αἱ ὦαι.
τὰ λώματα. οἱ κροσσοὶ ἅπερ ὅμηρος θυσάνους καλεῖ. τῆς ἑκα
τὸν θύσανοι παγχρύσεοι. τὸ δὲ ἑξῆς αἴτεμοι, ὁπότε δὴ, μὴ λύ
γκας. ἐνδρομίδας τε καὶ θοοὺς κύνας ἐνκομέσειν. Ἀμίτρους. ἀζώ
στους. μὴ διαπαρθενευομένας. μίτρας γὰρ ἐζώννυντο ἃς ἔλυον.

Hom. — Hom. — ἑα — ἔα — ὦα — λέγναι — λώματα — κροσσοί — θύσανοι — Zonę solutio — μίτραι

ὅταν ἔμελλον διαπαρθενεύεσθαι. ἢ ὅτι οἱ ἄγαμοι γυμνοὶ ἐβάδιζον. Ἀμνισίδας. ἀμνισὸς ποταμὸς κρητικός. ἀφοῦ κρητικάς. Ἐνδρομίδας. τὰ ὑποδήματα. Ἥντινα νῦν μόνον. περιττὸν τὸ ἦν. Λῆς. ἀντὶ τοῦ θέλεις. κατὰ ἀποβολὴν τῆς θε. συλλαβῆς κέχρηται πολλαχοῦ τῇ λέξει καὶ ὁ θεόκριτος. Λῆς ποτὶ τᾶν νυμφᾶν. λῆς αἰπόλε. Σπαρνόν. σπάνιον. Μοῦνον ὅτ' ὀξείαισιν ὑπ' ὠδίνεσσι γυναικός. ἡ αὐτὴ γάρ ἐστι τῇ εἰληθυίᾳ. Μέχρις. περιττόν ἐστι. Τετθόρνκεν. ἀντὶ τοῦ οὐ δὲ τυτθόν. Καὶ ἀρτέμιδος. ἀπὸ κοινοῦ τὸ ἔσωται. Διαμαρήσασθαι. ἀπὸ κοινοῦ τὸ ὀπάσω σοι μετὰ τὰς . λ. κοινῇ δέ σοὶ καὶ τῷ ἀπόλλωνι, πολλάς. Ἐπωκρήνινε καρήατι. ὅμηρος ὅτι κὰμ κεφαλῆ κατανεύσω. Λευκὸν ἐπὶ κρηταῖον. ὄρος κρητικόν. ἑνικῶς οὕτως εἴρηκε. λευκὰ δὲ ὄρη λέγονται πληθυντικῶς. Χαῖρε δὲ καίρατος. ποταμὸς κρήτης. καὶ πόλις. ἡ καίρατος οὕτω λεγομένη. Ἀμορβοῦς. ἀκολούθους. παρὰ τὸ ἅμα πορεύεσθαι. Τοὺς μὲν ἐτῶν μὲν. τὸ ἑξῆς. τοὺς μὲν ἐτῶν μὲν ὑπ' ἄκμοσιν ἡφαίστοιο. νῆσος δέ ἐστιν ἡ λιπάρα σικελίας. ἔνθα ἦν τὰ χαλκεῖα ἡφαίστου. ἔστι δὲ μία τῶν αἰολίδων. λέγεται δ' ὅτι σίδηρα διάφορα θέντες ἐν αὐτῇ ναῦται ἕωθεν εὑρήκασιν αὐτὰ ἐκ τῆς ἀναλώσεως τοῦ πυρὸς πεπυρωθέντα. καὶ διὰ τοῦτο ἐκλήθη ἡ νῆσος λιπάρα. διὰ τὸ αὐτὰ διάφορα ὅπλα, ἐν γενέσθαι. Περὶ μύδρον. σίδηρον πεπυρακτωμένον. παρὰ τὸ μύρεσθαι καὶ διαρρεῖν. Πρηόσιν ὀσσείησιν. ὄσσα ὄρος μακεδονίας. Φάεα μουνόγληνα. καὶ Ἡσίοδος. Κύκλωψ μοῦνος δ' ὀφθαλμὸς ἔην. Γλαυσόμματα ὑπολάμ

Ammisus fl. crete

ἐνδρομίδες

λῆς

σπαρνον

Leucus mons crete

λευκὰ ὄρη

Ceratus fl. & urbs crete

ἀμορβούς

Lipara unde sic dicta

Ossa mons

πορτα. ὅθεν καὶ γλαῦκος. Αὐτῶν τῷ βαρὺν στόμον. ἀπὸ κοι
νοῦ τὸ ἔδησαν. Αἴτνη· ὄρος σικελίας. κύρνος· νῆσος ἀντικρὺ
τῆς σικελίας ἡ κύρνος ἐστί. Εὐθοῖ τῷ ῥαιστῆρας. τὸ ἑξῆς. ἐπὶ
μέγα πλυτάκμα εὐθοῖ τῷ ῥαιστῆρας. λέγει δὲ τὰς σφύρας
ῥαιστῆρας. παρὰ τὸ ῥαίειν καὶ φθείρειν τὰ ὑποπίπτοντα. Αμβο
λαδίς. ἐκ διαδοχῆς. Ακηδέως ἄφοβοι. Αἰθῇ· τῇ κεκαυμέ
νῃ. τῇ μελαίνῃ. Μορμύσσεται. ἐκφοβεῖ. Ὀπωσόπτήρια δοί
ης. τὰ ὑπὲρ τοῦ ἰδεῖν δῶρα. Ὤλοψας. ἀπέτιλας. ἐλέπισας.
Κόμαν ἐπωνείματα ἀλώπηξ. πάθος περὶ τὴν κεφαλὴν γινό
μενον ἀπὸ μεταφορᾶς τοῦ ζῴου. τὸ γὰρ ζῷον τοῦτο λέγεται ὅτι
ἔνθα ἂν οὐρήσῃ ἄγονος ὁ τόπος ἐστὶν ἐν ἐκείνῳ γίνεται. Κυδω
νιον. Κυδωνίων ἔθνος κρητικόν. ἀφ' οὗ κρητικόν. Καταικλῆιδα.
τὴν φαρέτραν. Μόνιον λάκος. κατὰ μόνας νεμόμενον.
Ο δὲ κρέα λυγκός. εἶδος θηρίου. οὗ τὸ οὖρον πήγνυται. ὃ κα
λοῦσι λυγκούριον. Μαιναλίκς. μαίναλον ὄρος ἀρκαδίας. Πηγοῦς.
λευκούς. καὶ ὅμηρος. πηγεσιμάλλῳ. Κυνοσουρίδας· τὰς
ὑπὸ κυνῶν καὶ ἀλωπέκων τικτομένας κύνας. ἢ τὰς λακωνι
κάς. κυνοσουρὶς γὰρ τόπος λακωνικῆς. Καὶ τοὺς μύοντα λαγωόν.
ὁ γὰρ λαγωὸς καὶ ἐν τῷ κοιμᾶσθαι οὐ μύει. καὶ ὕστριχος. ὕστριξ
θηρίον τι ταχύτατον. Προμολῆς ταῖς διεξόδοις τοῦ παρρασί
ου ὄρους ἀρκαδίας. Μελαμψήφιδος ἀναύρου. ποταμὸς
θεσσαλίας ὁ ἄναυρος. κεράων δ' ἀπελάμπετο χρυσός.
Σημείωσαι ὅτι τὰς θηλείας ἐλάφους κερατοφόρους εἶπε
Κελάδοντος. ποταμὸς ἀρκαδίας. Κεραύνιος. λόφος ἀρκα
δίας. Τυτιοκτόνω. τυτιὸς βιασάμενος λητώ, ἀνῃρέθη ὑπὸ

Nota de ceruis foeminei sexus habere
cornua cõtra omnes scriptores

om

Cyrnus

ῥαιστῆρας

Cur morbus capitis vocetur ἀλώπηξ

Cydony

Lyncuriũ quid

Menalũ mons arcadie

Cynosuris locus laconie

Hystrix

Parrhasius mõs arcadie

Anaurus fl. thessalie

Celadõ fl arcadie

Ceraunius collis arcadie

Tityus occisus ab apolline & diana

Olympus mysie & macedonie

Phrygia mons trachinis ubi cadaver herculis combustū

Triphyllō citonascens

Inopus fl. deli

Pitane macedonie urbs

Limne attice populus

Ale araphanides populus attice

Ale Zonides populus attice

Ἰμοῦχος

ἀπόλλωνος καὶ ἀρτέμιδος. Αἱμονέπι. ὄρος θρᾴκης. Καταὶξ δὲ ἡ λεγομένη καταιγίς. Μυσῷ ἐν Οὐλύμπῳ. ἔστι γὰρ ἡ μακεδονίας. ἐμμάξεαι. ἐμβάλῃς. κτήσεαι φημί. φιν χωρὶς τοῦ σ. διὰ τὸ μέτρον. Ἠβλῆται. βεβλημένη ὑπὸ ἀρτέμιδος. Τρώχει. ψύχει. φθείρει. Ταὶ δὲ θυωρόν. θυωρὸς ἡ φιλικὴ τράπεζα. κυρίως δὲ ἡ θυσίας ἅμα τιθεμένη. τὸ δὲ ἑξῆς περὶ μίαν θυωρὸν τὰ δίφρα τίθενται αἱ ἑκάτερον καὶ αἱ γαλόῳ. Εἴη μὲν ἐμοὶ φίλος. εἴη μοι φίλος ὅστις ὑπὸ σοῦ προμηθεῖται. εἴην δὲ καὶ αὐτός. Τόξα καὶ ἄντυγες. ἀπὸ τῆς ἄντυγος τὸ ὅλον ἅρμα σημαίνει. Ἀκακήσιος. ἀπὸ ὄρους ἀρκαδίας. ἢ ὁ μηδενὸς κακοῦ παραίτιος ὤν. Τιρύνθιος ἄκμων. ὁ μὴ καμὼν ἐπὶ τοῖς ἄθλοις ἡρακλῆς. Πενθερή. ἡ ἥρα. Πινύσκει. σωφρονίζει. κολακεύει ὁ ἡρακλῆς. ἐς πρόκας. διὰ τὴν ἀδηφαγίαν τὰ μείζω τῶν ζώων κελεύει αὐτὴν ἀγρεύειν. Φρυγίη. φρυγία ὄρος τραχῖνος. ἔνθα ἐκάη ὁ ἡρακλῆς. Θειοδάμαντι. βασιλεὺς δρυόπων ὁ θειοδάμας. Ὠκύθεον τριπέτηλον. τὸ ταχέως ἀνατέλλον τρίφυλλον. Ὑπερλακμίδας. πυέλους. πτίστρας. Ἡνίκα δ' αἱ νύμφαι σε. τὸ ἑξῆς ἡνίκα αἱ νύμφαι μὴν νέον Ἰκμοῦτος. Ἰνωποῖο. ἰνωπός. ποταμὸς δήλου. αἰγύπτιος δὲ διὰ τὸν νεῖλον. ὅτι καὶ αὐτὸς ἐκείνῳ πλημμυρεῖ. ἢ ὅτι λέγεται τοῦ ὕδατος τοῦ νείλου μετέχειν λαθραίως. Πιτάνη δὲ πόλις μακεδονίας. Ἢ ἐνὶ λίμναις. λίμναι δῆμος ἀττικῆς ἔνθα τιμᾶται ἡ ἄρτεμις. Ἁλάς. ἀραφαμίδας. δύο ἁλαὶ δῆμοι τῆς ἀττικῆς. ἁλαὶ ἀραφαμίδες καὶ ἁλαὶ ζωνίδες. Τέθμια. τὰ νόμιμα τῶν ταυροσκυθῶν τὸ θύειν τοὺς ξένους. Ἰκμοῦτος. τη

νικαῦτα ὑπ᾽ ἀμολγίῳ. τὸ ἑξῆς ἡνίκα αἱ νύμφαι τῆς ἀρτέμιδος τῷ χορῷ κυκλώσονται. μὴ γένοιτο τὰς ἐμὰς βοῦς ἐπ᾽ ἀμολγίῳ μισθῷ ἐργάζεσθαι. καὶ γὰρ ὁ ἥλιος ἐπέχει τὸν ἑαυτοῦ δρόμον καὶ αὐτὸς ἐφορῶν τὸν χορὸν τῶν νυμφῶν· ὥστε γίνεσθαι πλεῖστον τῆς ἡμέρας διάστημα. Στυμφαίηδος. ἠπειρωτικαί. στύμφαι γὰρ χωρίον τῆς ἠπείρου. λέγονται δὲ καλὰς βοῦς ἔχειν τὴν ἤπειρον. Κόπρον. τὴν ἔπαυλιν. κεραελκέος. διὰ τὸ τοῖς κέρασιν ἕλκειν τὸ ἄροτρον. Πέργη. μικρόπολις παμφυλίας. Τηΰγετον. ὄρος λακεδαίμονος. Εὐρίποιο. εὔριπος ὁ μεταξὺ εὐβοίας καὶ βοιωτίας ῥοῦς. καλεῖται δ᾽ οὕτως ἡ εὔβοια διὰ τὸ ἐπιμήκη αὐτὴν κεῖσθαι. λέγεται δὲ καὶ μάκρις. Γορτυνίδα. κρητικὴν ἀπὸ τόπου. ἐλλοφόνον. νεβροκτόνον. Βριτόμαρτιν. βριτόμαρτις ὄνομα κύριον τῆς νύμφης. ἀφ᾽ ἧς καὶ ἡ ἄρτεμις ἐν κρήτῃ βριτόμαρτις τιμᾶται ὡς διοσημιαμός. Παίπαλα. τοὺς τόπους τραχεῖς. Οὖπι ἄνασσ᾽ εὐῶπι. οὖπις ἐπίθετον ἀρτέμιδος. ἢ παρὰ τὸ ὀπίζεσθαι τὰς τικτούσας, ἢ παρὰ τὴν θρέψασαν αὐτὴν οὖπιν. ἢ διὰ τὰς ὑπερβορέους κόρας. οὖπιν. ἑκαέργην λοξώ. ἃς ἐτίμησεν ἀπόλλων καὶ ἄρτεμις. καὶ ἀπὸ μὲν ἃς μὲν οὖπις ἡ ἄρτεμις· λοξίας δὲ καὶ ἑκάεργος, ἐκ τῶν λοιπῶν ὁ ἀπόλλων. Ὑψηίς. ἡ κυρήνη. Ἰώλκιον. τὸν τύμβον τοῦ πελίου. ἰωλκίος γὰρ ὁ πελίας. καὶ κεφάλου ξανθήν. ἤγουν τὴν πρόκνην. καὶ καλὴν ἀντίκλειαν. ἢ τὴν μητέρα ὀδυσσέως ἡ ἄλλην τιμᾷ. Ποδορρώην. τὴν τοῖς ποσὶν ὁρμοῦσαν καὶ ὁρμῶσαν. Οὐδὲ μὲν ὑλαῖον τῷ. ὑλαῖος καὶ ῥοῖκος κένταυροι περὶ ἀρκαδίαν. οὓς ἀνεῖλεν ἀταλάντη βιασαμένους αὐτήν. Τάων μαι

ge
anη

Stymphe regio epiri

κόπρον ἡ τὴν ἔπαυλιν

Perge metropolis paphilie

ἐλ

Οὖπις ἐπίθετ ἀρτέμιδος

Euboea unde sic dicta

Mackis

Britomartis nympha

Britomartis diana

παίπαλα

Vpis cognomē diane

Hyperboree puelle

Vpis

Hecaerge

Loxo

Anticlia

Podorrhoe

Hyleus Roecus Ceta

Centauri ab atalanta occisi

Loxias unde dictus apollo

Hecaergos apollo unde dictus

Procne cephali

ναῦν · νᾶμα · νασμός · Chesiu promontoriu sami · Imbrasus fl. sami · Rhamnus · Nemesis · Castor & pollux & helena ex uno ouo · Axema mōs arcadie · Sardis · Bosphori duo

ναλίκμαῶν φόρμω. τῶν λαγόνων τῶν κενταύρων. Νάων· ἔσταξεν· ἔβρεξεν. ὅθεν καὶ νᾶμα. καὶ νασμός. Χησίαις· Χήσιον ἀκρωτήριον τῆς σάμου. καὶ ἴμβρασος ποταμὸς τῆς σάμου. Ῥαμνουσίδι· ῥαμνοῦς δῆμος ἀττικῆς. ἔνθα τῇ νεμέσει ὁ ζεὺς συγκαθεύδησεν. ἥτις ἔτεκεν ὠόν. ὅπερ εὑροῦσα ἡ λήδα ἐθέρμανε. καὶ ἐξέβαλε τοὺς διοσκούρους. καὶ τὴν ἑλένην. Ἀζηνίδα. ὄρος ἀρκαδίας. Τὸν δ᾽ ἐνὶ λουάτοις. κἀνταῦθα τὰ λούατα ὡς ἡρωδιανός. Εἵλω παίδωμι μανεῖσαι γὰρ αἱ τοῦ αὐτοῦ θυγατέρες, πάλιν διὰ τῆς ἀρτέμιδος ἡμερώθησαν. ὁ δὲ κτίζει ἱερὰ δύο. ἐν μὲν κορίης. ἐν δὲ ἡμερίης. διότι τὰς κόρας ἡμέρωσεν. Ἱππώ. μία τῶν ἀμαζόνων. ἔργον ἀθηναίης. ἀθηνᾶ γὰρ ἔφορος πάσης τέχνης. Σάρδιας. πόλις λυδίας. Βερεκύνθιον. μεταξὺ λυδίας καὶ φρυγίας. Ῥέα κεν πυθῶνα. ὅμηρος οὐδ᾽ ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει. καὶ ἠλαίνων. μωραίνων. Βόος πόρον ἰναχιώνης. τῆς ἰοῦς. τῆς εἰς βοῦν μεταμορφωθείσης. βόσποροι δέ εἰσι δύο. ὅ, τε τοῦ βυζαντίου καὶ ὁ κιμμέριος. Μουνιχίη. μουνίχιον γάρ ἐστι μέρος τοῦ πειραιῶς. τοῦ λιμένος τῶν ἀθηνῶν.

## ΕΙΣ ΤΟΝ ΤΗΣ ΔΗΛΟΥ.

Pimplea · Delos sterilis

Πίμπλειαν. ὄρος θρᾴκης ἱερὸν μουσῶν. κείνη δ᾽ ἠνεμόεσσα καὶ ἄτροπος. ὅτι ἀκίνητος καὶ ἄσειστος ἡ δῆλος. καὶ οὐδέποτε ἠνεμωμένη τινάσσεται. καὶ θουκυδίδης σεισμὸν γενόμενον μέγα βουλόμενος ἐξηγήσασθαι, φησὶν ὅτι τοσοῦτον ἦν μέγας, ὥστε τὴν δῆλον νῆσον σεισθῆναι. ἄλλως. ἄτροπος. ἄσειστος. ἀγεώργητος. καὶ μὴ φερομένη καὶ μεταβαλλομένη. ἐν τῷ ἀροῦσθαι. ῥαχία γάρ. Ἀπομάσσεται· ἀπορρύπτει. Αχνην·

ἀφρόν. Νῆσοι ἀολλίζονται. ἤγουν ὅτι αἱ νῆσοι ἀθροίζονται. ἀντὶ τοῦ οἱ ἔξαρχοι θεοί. Κύρνος ὀπηδεῖ. ἡ νῦν Τύρος καλουμένη. καὶ μακρὶς ἀβαντιάς. ἡ τῶν εὐβοέων. Σαοῖ. σώζει. Ἐρυμναί. ἠσφαλισμέναι. Στρυμονίου βορέαο. στρυμὼν ποταμός ἐστι καὶ πόλις θράκης. Εἰ δὲ λίην πολέες σε. αἱ πινδάρου καὶ βακχυλίδου. ἔδει δὲ εἰπεῖν πολλαί. Χ' ὡς τὰ πρώτιστα. λέγονται γὰρ ὅτι ὁ ποσειδῶν, τῇ τριαίνῃ ἀποσπῶν τῆς χέρσου τὰς νήσους ἐποίει. Ἀπὸ ξάνθοιο πολίχνης. ἀπὸ τινὸς ξάνθου βασιλεύσαντος φοίζημος. Χαλκιδίκης δ' αὐτῆμαρ. χαλκὶς πόλις εὐβοίας. Σούνιον. ἀκρωτήριον τῆς ἀττικῆς. Ἡ μὴ σοί γε διάβροχον. τῆς σάμου τὸ γόμυμον. Γείτων ἀγκαίου. ἀγκαῖος βασιλεὺς σάμου. Διακριδόν. κατ' ἐξοχήν. μεγάλως. Σπερχομένη. ὀργιζομένη. Εἵατο. ἐκαθέζοντο. Αἵμου. ὄρος θράκης. Ἑπτάμυχον. πολύμυχον. Νησάων. παραλόγως ἔχει τὴν διαίρεσιν. οὐ γὰρ ἀπὸ τοῦ εἰς .α. ἐστίν. Ἧσο κόρη. ἡ ἶρις. Μίμαντι. ὄρος χίου. Παρθένιον. ὄρος ἀρκαδίας τὸ παρθένιον. ἔνθα τὴν αὔγην τὴν ἀλέου θυγατέρα ἱέρειαν τῆς ἀθηνᾶς ἔφθειρεν ἡρακλῆς. Φενειός. πόλις ἀρκαδίας ἀρχαία. Ἐμπλὴν αἰγιαλοῦ τε καὶ ἄργεος. ὅμηρος αἰγιαλόν τ' ἀνὰ πάντα. ι
Καὶ ἀονίη. ἀονίας τὰς θήβας λέγει. Δίρκη τε. στροφίη τε. Κρῆναι ἐν θήβαις ταῖς βοιωτίαις. Ἰσμηνοῦ. ἰσμηνὸς ποταμὸς θηβῶν καὶ ἀσωπός. Ἐπεὶ πεπάλακτο. ἐπεὶ τὴν θυγατέρα αὐτοῦ αἴγιναν ἁρπαγῆναι ὑπὸ διὸς ἀπήγγειλε σίσυφος. ὁ δὲ ἤρξατο διώκειν αὐτόν. ζεὺς δὲ ὀργισθεὶς ἐκεραύνωσεν αὐτόν. Ἡδὺ πολίνη

Cyrnus postea tyrus
Strymo
Fabula
Xanthus rex
Chalcis
Suniu
Anceus rex Sami
Mimas
Parthenium
Auge alei
Pheneus
Dirce fōs
Strophie fōs
Hysmenus f
Aegina
~~Sisyphus~~
fulminatus a ioue Asopus

θεῖσα. ὑπόγομος γινομένη αὐτόχθων μελίη τὸ ἑξῆς. οὐκ
Helico mōs — ἔστι κύριον· ἀλλ' ἁπλῶς εἴρηται περὶ πάσης μελίας. ἑλικῶ-
boetie — νος. ὄρος βοιωτίας. ταῖς μὲν ἐπ' ἀπόλλων. ταῖς μὴ δεξαμέναις
δηλαδὴ τὴν λητώ. Θήβη τίπτε τάλαινα τὸν αὐτίκα
τὸ ἑξῆς· ὦ θήβη· τί αὐτίκα ἐλέγχεις τὸν ἐσόμενόν σοι πότμον.
delphyne — Τριποδήιος. ὁ δελφύνης. Ἀπὸ πλείστοιο. πλεῖστος ποταμὸς φω-
Plistus fl. — κίδος παρὰ τὸν παρνασσὸν ῥέων. ὅ ἐστιν ὄρος φωκίδος. Τομώτε-
phocidis — ρον. σαφέστερον. Κακογλώσσοιο. τῆς νιόβης. ἐν θήβαις γὰρ κατῴκει.
Parnasus — Κιθαιρὼν. ὄρος θηβῶν. ἑλίκη· πόλις βοιωτίας. Βοῦρα τε δεξα-
Cithero mōs — μενοῖο. Βοῦρα. πόλις ἀχαΐας. ᾤκησε δὲ αὐτὴν δεξαμενὸς ὁ
thebar. — κένταυρος. ἐκεῖ δὲ αὐτοῦ τὰ βοοστάσια ἐφυλάττετο. διὸ ἡ βοῦρα ὠ-
Bura urbs — νομάσθη. Καὶ αἱ χειρωνίδος ἄκραι. τὸ πήλιον ὄρος τῆς θεσσαλί-
& unde dicta — ας· διὰ τὸ τὸν χείρωνα ἐκεῖ οἰκῆσαι. Πηνειὸς ποταμὸς θεσσαλί-
ας. Τεμπέων. τέμπη αἱ στενώταται διεκβολαὶ τῶν θεσσαλί-
Chironides — ας ὀρῶν· Θεσσαλίδος. αἱ περὶ τὸν πηνειόν. Πεποίησαι· προσ-
petre i. pelii — ποιῇ τὸ ὀξέως φέρεσθαι. Ὦ φιλύρης νυμφήιον. ἐν τῷ πη-
Tempe — λίῳ γὰρ ὁ κρόνος τῇ φιλύρᾳ μιγεὶς, γεννᾷ τὸν χείρωνα.
Saturnus ex — Ἀναγκαίη. τὸ τοῦ ποιητοῦ. ἀναγκαίη γὰρ ἔπειγε. Ἀπαύγα-
philyra chirone — σαι· θέασαι. οἷος ἔφεδρος τοῦ ἄρη λέγει. Τί πωριαστά· λείπει
τὸ φθέγγομαι. Παγκαίου. πάγκαιον ὄρος θρᾴκης. Ὄσσης. ὄ-
Pangeus mōs — ρος θεσσαλίας. Πίνδοιο. ὄρος περαίβιον. Εἰς ἑτέρην βρια-
Pindus mōs — ρῆος· οἱ μὲν βριαρέως, οἱ δὲ τυφωέως, οἱ δὲ ἐγκελάδου. Θερ-
perrhebius — μαύστραι. αἱ κάμινοι. Κοιηνίς. κοίου γὰρ ἡ φοίβης θυγάτηρ λη-
τώ. ἴσως κοιαντίς. Κέρκυρα ἡ φαιακία. Μεροπηΐδα. ἢ ὅτι ὑ-
Meropis cos — πὸ μέροπος ἐβασιλεύθη, ἢ ὅτι μέροπες αὐτὴν ᾤκησαν.
unde dicta

ἢ ὅτι μέρος πως συγγενικῶς. Ἀλλά οἱ ἐκ μοιρέων. διὰ
τὸ ἐκεῖσε ἀναγραφῆναι τὸν φιλάδελφον πτολεμαῖον ἐν τῇ κῷ.
Ὑπὸ μίτρην. ὑπὸ τὴν βασιλείαν. ὑπὸ τὴν ἀρχήν. Μακηδόνι τῷ
φιλαδέλφῳ πτολεμαίῳ. Τιτῆνες ἀφ' ἑσπέρου. τῆς δύσεως.
ὡς τιτᾶνες δέ, διὰ τὸ ἐπιχείρημα. Ῥώσονται μιφαλδεατῖν.
Βρέμνος ὁ τῶν γαλατῶν βασιλεύς. συναγαγὼν τοὺς κελτοὺς ἦλθεν
ἐπὶ πυθῶνα βουλόμενος τοῦ θεοῦ τὰ χρήματα διαρπάσαι. πλη
σίον δὲ γενομένων, ὁ ἀπόλλων χαλάζῃ χρησάμενος, ἀπώλε
σε τοὺς πλείους αὐτῶν. ὀλίγων οὖν περιλειφθέντων, ἀντίγονός
τις φίλος τοῦ φιλαδέλφου πτολεμαίου, προξενεῖ αὐτοὺς αὐτῷ ὡς
τῷ ἐπὶ μισθῷ στρατεύσασθαι. καὶ γὰρ ἔχρῃζεν ὁ πτολεμαῖος τούτου
τοῦ στρατεύματος. οἱ δὲ ὁμοίως ἠβουλήθησαν καὶ τοῦ πτολεμαίου
διαρπάσαι τὰ χρήματα. γνοὺς οὖν, συλλαμβάνει αὐτοὺς καὶ ἀπά
γει πρὸς τὸ στόμιον τοῦ νείλου τὸ λεγόμενον σεβεννυτικόν. καὶ κα
τέκλυσεν αὐτοὺς ἐκεῖσε. ταῦτα οὖν φησὶ ξυνὸν ἀγῶνα ἔ
σεσθαι. Τέων. ὧν τινῶν ἀσπίδων, αἱ μὲν ἐμοὶ ἐς γέρας. αἱ
δὲ τῷ πτολεμαίῳ δοθήσονται. Δειδομένῃ. φαινομένῃ.
Ἀραιή. λεπτή. Ἀνθέρικος ὡς. ἀνθέρικός ἐστιν ὁ τοῦ ἀσφοδέλου
καρπός. Γεραιστόν. γεραιστὸς ἀκρωτήριον εὐβοίας. Ἐφύλα
ξα. ἀντὶ τοῦ φυλάξω. Φοίνικος ποτὶ πρέμνον. καὶ παρ' ὁ
μήρῳ. δήλῳ δή ποτε τοῖον ἀπόλλωνος παρὰ βωμῷ. Φοίνι
κος νέον ἔρνος ἀνερχόμενον ἐνόησα. Ἀλυσθμαίνουσα. ἐνδυ
στῶσα. ἀσθμαίνουσα. Νύμφα διός. πρὸς τὴν ἥραν ὁ λόγος. Σαῦ
ρον. τὸ κάλυμμον. Οὐδ' ὅτε οἱ ληθαῖον. τὸ λῆθην τῶν κακῶν ἐμ-

Ptolemeus philadelphus in co[n]… [margin note]
Brenni historia
Antherix
Gerestus p[romontorium]
σαφρον

ποιοῦν. Ποτὶ γλωχῖνα. πρὸς τὴν γωνίαν τοῦ θρόνου. Λέχριος. πλαγίως. Ενδρομίδας. κυρίως τῶν κυνηγῶν τὰ ὑποδήματα. Αλφιβίδως, αἱ θεράπαιναι. αἱ ἀλήθουσαι. Μάλα γάρ τοι κακῶς. καὶ γὰρ κακῶς τῇ λητοῖ ἐχαρίσατο. Μηόνιον πακτωλὸν. ποταμὸς λυδίας. χρυσοῦ ψήγματα φέρων. Εβδομάκις. ἑπτα μηνιαῖος γὰρ ἐτέχθη ὁ ἀπόλλων. Ολολυγήν. τὴν μετὰ εὐφημίας λέγει εὐχήν. Λίμνη. ἡ θάλασσα. διὰ τὸ περιέχειν κύκλω τὴν νῆσον. ἢ λίμνη τίς ἐν δήλῳ περιφερής. Ω πολύβωμω. πρὸς τὴν γῆν λέγει πᾶσαν. Λεχαίω. λέχαιον καὶ κεγχρεὶς, εἰσὶν ἀκρωτήρια ἔνθα ὁ ποσειδῶν τιμᾶται. Αἱ τὰ νάμεα τημ. ἐν μεσημβρίᾳ. Καὶ οἱ καθύπερθε. οἱ ὑπερβόρειοι. Οικία ξεινός. θῖνα νῦν τοῦ ὠκεανοῦ ζώνην λέγει. Καὶ μέντοι καλάμην τε. λέγονται ὅτι οἱ ὑπερβόρειοι δῶρα πέμπουσι τῷ ἀπόλλωνι. ἅτινα δέχονται πρῶτοι δωδωναῖοι. Γηλεχέως. καὶ ὅμηρος χαμαιεῦναι. Μηλίδος. μηλὶς πόλις τραχῖνος. Ληλάντιον. ἐν εὐβοίᾳ πεδίον ληλάντιον ἀπὸ λήλαντος βασιλέως. Αριμασπῶν ἔθνος τῶν ὑπερβορέων. Οὐπίς τε. αἱ τρεῖς κόραι τῶν ὑπερβορέων σκυθῶν. Ευαίων δὲ. ἡ μακαρία. Εὔμοιροι. εὔφημοι. Παρθενικαὶ. ἀπὸ κοινοῦ τὸ φορέουσιν. Αρσενικοὶ οἱ καθαροί. Οὖλος ἐθείραις. Ολόκληρος ταῖς θριξί. τουτέστι λαμπρὸς ταῖς ἀκτῖσιν. Ωλήν. ὠλὴν γάρ τις λύκιος εὗρε τὸν ὕμνον τοῦτον. Αριήκοον. ἀριήκοον ἀφροδίτης ἱερὸν ἐν δήλῳ. ὅπερ θησεὺς ἔκτισε διὰ τὸ εὐχερῶς τὴν ἀριάδνην ὀλισθῆσαι εἰς πόθον τοῦ θησέως. καὶ χειρώσασθαι τὸν μινώταυρον. Σὸν περὶ βωμὸν. τοῦτο καὶ πλάτων ἔφη ἐν τῷ

ενδρομιδες

ἀλεξιδες

Pactolus fl

Lecheū ~~o~~ pmto
Cerchnis ~~to.~~

Melis urbs

Hyporei do
na mittunt
apollini

γηλεχεες

Lelantius cam
pus

Arimaspi

Olen lycius

Ariecou templū
ueneris in de
lo

Θεωρίδος ἱερᾶς. τὸ ἑξῆς θεωρίδος νηὸς, νηὸς τῆς τὰ ἱερὰ φερούσης. κυρίως δὲ θεωρὸς ὁ τὰ θεοῦ ὁρῶν· ὅ ἐστι φυλάσσων. ἐκαλεῖτο δὲ οὕτως ὁ ἱερεύς. Τοπήια. ὅπλα νεὼς παρὰ Λάκωσι σχοινία. κάλοι. Βωμὸν ὑποπληγῆσιν. ἐν Δήλῳ περὶ τὸν βωμὸν τοῦ Ἀπόλλωνος ἔθος ἦν τρέχειν καὶ τύπτειν τὸν βωμὸν μάστιγι. καὶ ἀποδάκνειν ἐξηγκωνισμένους ἐκ τῆς ἐλαίας. Ῥησσόμενον. πλησσόμενον. Ὀδακτᾶσαι. δράξασθαι. δακεῖν. Ἱστίη ὦ νήσων. ἔστι μὲν κυρίως ὁ βωμὸς ὁ ἐν μέσῳ τῶν δόμων ἑστώς· ἐπεὶ δὴ οὖν καὶ Δῆλος ἐν μέσῳ τῶν Κυκλάδων ἕστηκε, δοκεῖ ὥσπερ ἑστία τις καὶ βωμὸς εἶναι. Εὐέστιε. εὔοικε.

Theoris na-nis — θεωρὸς — Mos in delo — ὀδακτᾶσαι

## ΕΙΣ ΤᾺ ΛΟΥΤΡᾺ ΤΗ͂Σ ΠΑΛΛΆΔΟΣ.

Ὅσσαι λωτροχόοι τᾶς Παλλάδος. Ἐν τινὶ ἡμέρᾳ ὡρισμένῃ ἔθος εἶχον αἱ Ἀργεῖαι γυναῖκες λαμβάνειν τὸ ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὸ Διομήδους καὶ ἄγειν ἐπὶ τὸν Ἴναχον κἀκεῖ ἀπολούειν. Φρυασσομενᾶν. ποιὸν ἦχον ἀποτελουσῶν. Σοῦσθε νῦν. ὁρμᾶτε. Ἀπονίψατο πάχεις. ἀπὸ μέρους τὸ ὅλον. Γηγενέων. τῶν Γιγάντων. Ἐφοιβάσσων. ἐκάθηρεν. Μὴ δ' ἀλαβάστρως. ἀπὸ κοινοῦ τὸ οἴσατε. Συρίγγων. τῶν χοινικίδων. Ἀλαβάστρως. τὰς μυροθήκας. Παρ' Εὐρώτᾳ. ποταμὸς Λακεδαιμονίας. Τοὶ Λακεδαιμόνιοι. οἱ Διόσκουροι. Ἐμπεράμως. ἐμπείρους. Λιτὰ λαβοῖσα. ἀσκεύαστα. ἄμικτα. Ἄρσεν τε. ἤτοι καθαρὸν ἄμικτον. Ἴλα ἡ τῶν νυμφῶν φατρία καὶ ἄθροισις. Ἀκεστορίδαν. Ἀκεστορίδαι φυλὴ ἐπίσημος ἐν Ἄργει. Εὐμήδης ἐδίδαξε. ποτὲ τῶν Ἡρακλειδῶν ἐλθόντων κατὰ τῶν Ὀρεστ

Argiuarum mos — σοῦσθε ν. ὁρμᾶτε — Eurotas fl — Castor & pollux — Acestorida tribus — Eumedes

ἐξηγκωνισμένους

σοῦσθε

λῶν, εὐμήδης ἱερεὺς τῆς ἀθηνᾶς ὑπωπτεύθη ὑπὸ ... ναίοις·
ὡς βουλόμενος προδοῦναι τὸ παλλάδιον τοῖς ἡρακλείδαις· φοβηθεὶς
οὖν ὁ εὐμήδης ἔλαβε τὸ παλλάδιον καὶ παρεγένετο εἰς τὸ ὄρος
τὸ καλούμενον ἴφειον. κρεῖον δ' ἐς ὄρος· ὄρος ἄργους· Ἀπ' ἐρρωγεσ-
σιν. ἐν πέτραις ἐρρηγμέναις. Οὔνομα παλλατίδων. οὕτω γὰρ
καλοῦνται ἀπὸ τῆς παλλάδος· Ἢ ς φυσάδειαν. φυσάδεια καὶ ἀ-
μυμώνη θυγατέρες δαναοῦ· ὅθεν τὴν ὀνομασίαν ἔσχον αἱ κρῆ-
ναι. Νύμφαν μίαν· τὴν χαρικλὼ μητέρα τοῦ τειρεσίου. Εὖτ' ἐ-
πὶ θεσπιέων. θέσπεια κορώνεια ἁλίαρτος· πόλεις βοιωτίας. Κου-
ραλίῳ. ποταμὸς βοιωτίας. Ἵππω ἐπὶ κράνᾳ. οὕτω καλεῖ-
ται ἵππου κρήνη ἐν ἑλικῶνι. Περκάζων. μελαινόμενος ὑπὸ
τῆς φύσεως τῶν τριχῶν. Ὦ εὐηρείδα. εὐήρους υἱὸς ὁ τειρεσίας.
Ἄλαστε. ἤτοι ἀνεπίληστα ὑπομένας. Μεταπάλιν βαλεῦ.
τὸ ἑξῆς μεταβαλοῦ· Πέσσα δ' ἀρισταῖος. ἀκταίων υἱὸς αὐτονό-
ης καὶ ἀρισταίου. οὗτος ὑπὸ τῶν ἰδίων κυνῶν ἐσπαράχθη διὰ τὸ
ἄρτεμιν ἰδεῖν λουομένην. Τὸν ἀβατάν. τὸν ἡβητήν. Τουτάκι.
τηνικαῦτα· Μεμεῦνῃ. μεμοῦσιν· Ἠλίθα. μάτην.

## ΕΙΣ ΤΟΝ ΔΗΜΗΤΡΟΣ.

Τῶ καλάθω κατιόντος· ὁ φιλάδελφος πτολεμαῖος κατὰ
μίμησιν τῶν ἀθηνῶν ἔθη τινὰ ἵδρυσεν ἐν ἀλεξανδρείᾳ· ἐν
οἷς καὶ τὴν τοῦ καλάθου πρόοδον. ἔθος γὰρ ἦν ἐν ἀθήναις, ἐν ὡρισμέ-
νῃ ἡμέρᾳ ἐπὶ ὀχήματος φέρεσθαι καλάθιον εἰς τιμὴν τῆς δή-
μητρος. Εἴς τ' ἐπὶ μέλανας. τοὺς αἰθίοπας. Ὑπὸ τὰν κνιδίαν.
χώρα θετταλίας. Ὥστ' ἀλέκτριμον ὕδωρ· διαυγὲς παρὰ τὸ ἠλεκ-

Eumedes
Iphei mons
Creu mons
ἀπορρώξ
Physidea
Amimone
Thespia
Coronea
Aliartus
Curalius fl.
Eq fons in helicone
Eueris f. tiresias
Philadelphus
καλάθου προ-
οδος
Cnydia regio thessalie



AAA · 2 · 18 ·